οὐκ ἀντιβάλλειν. οὕτω Κρατῖνος. Bekker. Anecd. 410, 31. '*exemplaria scripta recognoscere atque inter se conferre*' Lob. Phryn. 217 sq. quod recentiores scriptores *ἀντιβαλεῖν* dicebant. Hesych. *ἀνταναγνῶναι· ἀντιβάλλειν βιβλίον.*

387

ἀπαλλάξας

ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος. Bekker. Anecd. 415, 1. Suid. Zonar.

388

ἀποκριπάμενος

ἀποσπεισάμενος. οὕτω Κρατῖνος. Bekker. Anecd. 430, 3. Bergkius R. c. Att. 258 *ἀποκρινάμενος· ἀποσεισάμενος* (*secernens a se, removens*) conl. Plat. Leg. 12, 966 d (*δίκαιον*) *τὸν περὶ τὰ τοιαῦτα ἀργὸν . . . ἀποκρίνεσθαι πόρρω τῶν καλῶν.* addo Phot. *κρινάμενος· ἐπιλεξάμενος.* et *κριτός· ἐπίλεκτος.*

389

ἀρρενώπας

Eustath. 1571, 46 *ὁ παρὰ τῷ Κρατίνῳ ἀρρενώπας τὰ μὲν ἄλλα γύννις ὢν ἔχων δέ τι ἀνδρόμορφον.* Hesych. *ἀρρενωπάδες· ἀνδρόγυννοι.*

390

ἅψω

προσεγγίσω, δήσω. Κρατῖνος Hesych. *ἅψω* Kusterus] *ἀψῶ.* cf. Zonar. *ἅψαι τὸ προσεγγίσαι.* Lob. Soph. Ai. 700.

391

βαδίζον

ἀντὶ τοῦ βάδιζε. Κρατῖνος. Suid. Datin aliquem (Aristoph. Pac. 291) poeta loquentem videtur induxisse.

392

βαδισματίας

Poll. 3, 92 *βαδιστικὸς παρὰ Ἀριστοφάνει* (Ran. 128), *παρὰ δὲ Κρατίνῳ βαδισματίας.*

393

Βασιλεία

ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία. Schol. Aristoph. Av. 1536.

394

Βολβός

Athen. 1, 22 c *ὀρχησταὶ δὲ ἔνδοξοι Βολβὸς μὲν παρὰ Κρατίνῳ κτλ.* cf. Callias 25.

395

Βρέα

Hesych. *Κρατῖνος μέμνηται τῆς εἰς Βρέαν ἀποικίας. ἔστι δὲ πόλις Θράκης. εἰς ἣν Ἀθηναῖοι ἀποικίαν ἐξέπεμπον.* cf. Steph. Byz. *Βρέα.* Herodian. I 283, 20 Lentz. Boeckh. Opusc. VI 167 sq. H. Sauppe Monatsber. d. sächs. Ges. 1853 Febr. 33—48. H. Iacobi ap. Mein. V p. XLIV. 'coloniam Bream deductam esse circa Ol. 84 vere videtur suspicatus esse Sauppius'. Kirchhoff I. A. 31 p. 14.

396

βῶσον

βοήθησον. Κρατῖνος. Suidas. Zonaras *βώοσον* (sic)· *βοήθησον. Κρατῖνος.* recte Kusterus *βόησον* pro *βοήθησον.* Hesych. *βῶσον· κάλεσον, βόησον.* Aristoph. Pac. 1155 *Χαρινάδην τις βωσάτω.*

397

γαστροχάρυβδις

ἐπὶ τῶν κατεσθιόντων Κρατῖνος εἶπεν. Bekker. Anecd. 33, 18. cf. Pherecr. 95. Aristoph. Eq. 248 cum interpr.

398

γλύφειν

Κρατῖνος (ἐπὶ δακτυλιογλύφου). Pollux 7, 179.

399

γονατίζειν

Poll. 2, 188 *γόνυ ἡ μετὰ τοὺς μηροὺς συγκαμπή, ἀφ' οὗ καὶ τὸ γονατίζειν παρὰ Κρατίνῳ τῷ κωμῳδιοποιῷ.*

400

δασύποδα

Pollux 5, 68 *διὰ τοῦτό μοι δοκεῖ (δοκοῦσιν) δασύποδα τὸν λαγὼν ἄλλοι τε καὶ Κρατῖνος καλεῖν, ὄνομα ποιούμενοι τῷ ζώῳ τὴν*

φύσιν. exempla attulit Bergkius R. c. Att. 254 Alcaei 17. Nicostr. 6. Ephipp. 15, 9. Diphil. 1. Nausicr. 3.

401

Δεξώ

ὁ *Κρατῖνος ὠνοματοποίησεν ἀπὸ τοῦ δέχεσθαι δῶρα*. Hesych. cf. fr. 69. 70.

402

διάλαος

οἱ μὲν ἐπιμύλιον δαίμονα· ἄλλοι δὲ παιδιᾶς εἶδος, ἐν ᾗ διαλέγουσι τὰς ψήφους. βούλεται δὲ λέγειν ὁ Κρατῖνος τὸν ἔσχατον τῶν πόρνων. Hesych. pro *διαλαός* (sic cod.) Hemsterhusius *διάλυτος*, Albertus *μαχλός*, Is. Vossius *Διαλῷος*. Bergkius R. c. Att. 260 *διάλαος* defendens a voce *λαι* (*λαικάζειν* cet.) deducit. cui recte Meinekius opponit eam vocem non inveniri nisi initio verborum. M. Schmidtii coniecturam reticere satius est. si ulla in tantis tenebris lux est, potuit certe ea vox, quae et daemonem molarem et scortatorem significaret, *διαλοίας* esse. cf. *ἅλως, ἀλεῖν, ἀλοᾶν, πατραλοίας. διαλοᾶν* exstat Aelian H. a. 1, 9 extr.; aliquanto frequentius est *καταλοᾶν*.

403

δουλοπρεπέστατα

Κρατῖνος. Pollux 3, 75.

404

δυσβράκανον

δυσχερές. βράκανα γὰρ τὰ ἄγρια λάχανα· ἔστι δὲ δύσπλυτα (cod. *δύσπλητα*). *λέγει οὖν ὁ Κρατῖνος δυσκατανόητον οἱονεὶ δυσνόητον*. cf. tamen Hesych. *βρακεῖν· συνιέναι. βρακείς· συνιείς*. unde efficitur non a nomine *βράκανον*, sed a verbo *βρακεῖν* deductum esse adiectivum. '*βρακεῖν* (*animo comprehendere*), *βρακείς* (ut *δρακείς*) et cum hyperbato . . . *δυσβράκανον* et *δυσβάρκανον δυσκατανόητον*, quibus omnibus communis est notio comprehendendi, sive id manu fit, sive ore sive animo'. Lob. Rhem. 48. cf. Pathol. prol. 184.

405

δυσθαλής

δυσαυξής. Κρατῖνος. Hesych. hoc fragmentum cum fr. 246 coniungendum esse censet Schweighaeuserus; qua de re dubitari potest.

406

δωδεκέται

Schol. Hom. Il. 16, 428 *ἀγκυλοχεῖλαι· παρασύνθετον ἐκ*

τοῦ ἀγκυλόχειλος, ἢ ὡς τὸ δωδεκέται παρὰ Κρατίνῳ. δωδεκέται Meinek. Bergk. R. c. Att. 257. Lob. Paralip. 244] *δεδόκεται.* cf. Cram. Anecd. Ox. III 245, 15. quid sit *δωδεκέτει(ς)* scio; quid sit *δωδεκέται* nescio. nam exemplo ab *ἀγκυλοχεῖλαι* petito nihil efficitur.

407

ἐθέλεχθρον

Κρατῖνος λέγει. Pollux 3, 64.

408

ἐλλοπίδας

ἡ λέξις παρὰ Κρατίνῳ. γέγονε δὲ παρὰ τοὺς ἑλλούς, καὶ λέγει κοινῶς τοὺς νεβροὺς καὶ τοὺς στρουθοὺς ἢ νεοττοὺς ὄφεως. Hesych. *ἐλλόποδας* ex Etym. m. 331, 53 Lucas progr. Bonn. 1833 p. 6, quam vocem Bergkius R. c. Att. 257 interpretatur '*qui habent cervorum pedes, cervos celeritate aequiparant*', Hesychii autem glossam ab *ἔλλοψ* repetendam et *pisciculos* vel *parvos serpentes* ea significari censet, M. Schmidtius denique scribendum putat *ἐλλοπιδέας* (ab *ἐλλοπιδεύς*).

409

ἐναύεσθαι

Bekker. Anecd. 13, 20 *αὔεσθαι πῦρ καὶ ἐναύεσθαι* :.. *Κρατῖνος ἐναύεσθαι.*

410

ἐπιλησμονή

Schol. Aristoph. Nub. 790 *Ἄλεξις δὲ ἐπιλήσμη φησί. Κρατῖνος δὲ ἐπιλησμονή.* sic Abresch. Act. Traiect. I 229, *ἐπιλήσμονι* RAld. *ἐπιλησμοσύνη* Suid. *ἐπιλησμότατον.* Dindorfius *ἐπιλησμόνη*, 'ut *δυσφρόνη* et *εὐφρόνη*'. at Herodian. I 335, 7 Lentz *περόνη, εὐφρόνη καὶ Εὐφρόνη. ὀξύνεται δὲ ἡδονή, φλεγμονή, πλησμονή . . . χαρμονή.* ac sic sine dubio *ἐπιλησμονή.*

411

ἐρρῶσθαι

Bekker. Anecd. 8, 3 *οἱ μέντοι Ἀττικοὶ τὴν ἀρρωστίαν ἐπὶ τοῦ μὴ προθυμεῖσθαι μηδὲ ὁρμᾶν πρᾶξαι τιθέασι· τὸ γὰρ ἀντικείμενον τῇ τοιαύτῃ ἀρρωστίᾳ Κρατῖνος εἶπεν ἐρρῶσθαι, οἷον προθυμεῖσθαι.*

412

εὐζωρότερον (εὔζωρον)

Phrynich. Ecl. 145 *ζωρότερον ὁ ποιητής· σὺ δὲ λέγε εὔζωρον κέρασον, καὶ εὐζωρότερον, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ Εὔπολις.* Arist. Eccl. 137. Eupol. 382.

413

εὐθανάτως

Κρατῖνος λέγει. Pollux 3, 106. Cratinus sine dubio *εὐθανάτως ἔχειν* dixerat.

414

εὐπινής

Poll. 7, 43 *ὁ παρὰ Κρατίνῳ εὐπινής.* '*πίνος* et *εὐπινής* non raro *munditiem* atque *elegantiam* et proprie et figurate significant'. Meinek.

415

ἐφετίνδα

Etymol. m. 402, 39 *ἐφετίνδα· ὄνομα παιδιᾶς. ὡς γὰρ Ἀριστοφάνης* (Eq. 852) *φησὶ τὸ ὀστρακίνδα, παρὰ τὸ ὄστρακον ἀναπλάσας, αἰνιττόμενος τὸν ἐξοστρακισμόν, οὕτω Κρατῖνος ἀνέπλασε τὸ ἐφετίνδα παρὰ τὰς ἐν τοῖς δικαστηρίοις γενομένας ἐφέσεις.* Hesych. *ἐφετίνδα· εἶδος παιδιᾶς, ὅταν σφαῖραν ἄλλῃ προτείναντες ἀλλαχῇ βάλλωσι.* Poll. 9, 117 *ἡ δὲ ἐφεντίνδα* (sic enim Bekkerus etiam 110) *ὄστρακον ἐφέντα ἐς κύκλον ἐχρῆν συμμετρήσασθαι, ὡς ἐντὸς τοῦ κύκλου στῇ.* ad Cratetis *Παιδιάς* referebat Hemsterhusius, tamquam non quivis alius ludum Atticum commemorare posset.

416

ἡμίλουτοι

Κρατῖνος εἴρηκε. Pollux 6, 161.

417

* *θεόθυτα*

ἃ οἱ πολλοὶ ἱερόθυτα καλοῦσιν, Κρατῖνος τὰ τοῖς θεοῖς θυόμενα ἱερεῖα. Bekker. Anecd. 42, 21.

418

θηλάστριαν

ἣν θηλάζεταί (*θηλάσεταί* ed. Pors.) *τις· ἰδίως. οὕτως Κρατῖνος.* Phot. *ἰδίως*, i. e. *singulari quodam modo.* 'de *pupilla infante*, quam mater lactat; vulgari usu postulante, ut ipsa nutrix *θηλάστρια* dicatur'. Meinek.

419

ἰωνόκυσος

κατεαγώς. οὕτως Κρατῖνος Phot. ut Alcibiades a comicis *κυσολάκων* adpellabatur. cf. Phot. *κυσολάκων.*

420

καλαμώμενον

Κρατῖνος εἴρηκε. Pollux 7, 142. antea *καλαμητρίδες καὶ ποάστριαι.* Hesych. *καλαμώμενον· καλαμᾶσθαι λέγουσιν, ὅταν ἐκ τῶν τετρυγημένων ἀπολείμματα συνάγωσιν ἢ στάχυας.*

421

κύαθος

Athen. 10, 424 b *μνημονεύει τοῦ κυάθου καὶ . . . Κρατῖνος.*

422

λαυροστάται

μέσοι τοῦ χοροῦ· οἱονεὶ γὰρ ἐν στενωπῷ εἰσι. φαυλότεροι δὲ οὗτοι. οὕτω Κρατῖνος. Phot. minus bene Hesych.

423

λεπάσται

κύλικές τινες οὕτως ἐκαλοῦντο. Κρατῖνος. Phot. cf. Herodian. I 345, 3 Lentz *τὸ μέντοι ἑορτὴ ὀξύνεται καὶ . . . λεπαστὴ ἡ κύλιξ.* atqui iam antiquitus fuerunt qui dubitarent. Athen. 11, 484 f *οἱ μὲν ὀξύνουσιν . . . οἱ δὲ παροξύνουσιν.*

424

μάσμα

μάστευμα, ζήτημα. οὕτω Κρατῖνος. Phot. cf. Plat. Cratyl. 421 a et ibi Heindorf.

425

μελαγχρής

Phot. *μελάγχρως καὶ μελαγχρής. ἀμφότερα Ἀττικά. μᾶλλον δὲ διὰ τοῦ η. Κρατῖνος.* cf. Eupol. 430. Meinek. Menandr. 281. Herodian. II 159, 23. 255, 24 Lentz.

426

μεσόκοπον

ἀρρενικῶς, τὸν ἐπὶ μέσου ἡλικίας. Κρατῖνος. Bekker. Anecd. 108, 24. *ἐπὶ μέσου* Lucas Observ. 9] *ἐπιμέσου.* de muliere Xenarch. 4, 9.

427

μετεκβολή

μεταβολὴ καὶ ἐξάλλαξις. Κρατῖνος. Phot.

428

μηνυτήν

τὴν γυναῖκα. Κρατῖνος. Phot. 'fort. comice ludens, ut *ἡ γραμματεύς* Aristoph. Thesm. 431'. Lob. Paralip. 271. *μηνυτίν* Cobetus N. l. 148, quod non crederem, nisi meis oculis legissem.

429

μικρολογήσομαι

Κρατῖνος. Pollux 2, 124.

430

μίξοφρυν

Poll. 2, 49 *τὸν δὲ τοιοῦτον (σύνοφρυν) καὶ μίξοφρυν καλεῖ ὁ Κρατῖνος.*

431

μναρόν

μαλακόν, ἡδύ, ῥάδιον. οὕτως Κρατῖνος. Phot. Hesych. *μναρόν· μαλακόν, ἡδύ, θυμῆρες.*

432

οἰνωμένοι

ὡς Κρατῖνος. Pollux 6, 21. 'fors. *ᾠνωμένοι*'. Meinek.

433

ὅμαιμος

Cramer. Anecd. Ox. III 195 *Πλάτων δέ, οὐχ ὁ φιλόσοφος ἀλλ' ὁ κωμικώτατος, ᾧ καὶ Κρατῖνον οἶδα συνᾴδοντα, ἀορίστως ἐπὶ συγγενείας λαμβάνει τὴν ὅμαιμος λέξιν.* i. e. non solum de fratre aut sorore.

434

παναγάθη

ὡς Κρατῖνος. Pollux 6, 163. cf. Lob. Soph. Ai. 1415.

435

πανεύφρονα

Poll. 6, 163 *πανήμερος, πάννυχος. τοῦτον δὲ καὶ πανεύφρονα Κρατῖνος καλεῖ.* dubitat de hac significatione Meinekius.

436

πολύμιτος

ὡς Κρατῖνος ἔφη. Poll. 7, 31.

437

πρίονες

Photius *πριών· ὀξυτόνως, τὸ ἄρμενον· πρίων δὲ, ὡς παίων, ὁ τέμνων τῷ ἀρμένῳ τούτῳ· τὸ δὲ πληθυντικὸν πρίονες διὰ τοῦ ō. Κρατῖνος*. de accentu Herodian. II 434, 7. 573, 12. 723, 20. ceterum cf. Lobeck. Soph. Ai. 222 p. 162 sq. Meinek. II 205.

438

πρότηθυς

ἡ οὕτω γραῦς ὡς πρὸ Τηθύος τῆς Ὠκεανοῦ γεγονέναι γυναικός. Κρατῖνος τὴν ὑπεργήρων οὕτω λέγει παίζων. Bekker. Anecd. 59, 23. ita senes exoletos comici Cronos Iapetosve adpellant.

439

πωγωνίας

(i. e. *πώγωνος ὑποπιμπλάμενος*), *ὡς Κρατῖνος*. Pollux 2, 10.

440

ῥύγχος

τὸ πρόσωπον. Κρατῖνος καὶ ἕτεροι. Phot. Suid. cf. Archipp. 1.

441

ῥύδην

σφοδρῶς καὶ ἀθρόως. οὕτως Κρατῖνος. Phot. Suid.

442

Σάγρα

αἱ τοῦ . . . ἀλήθεια. οὕτως Κρατῖνος. Phot., apud quem totius versus lacuna est. pertinent haec sine dubio ad proverbium illud *ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ, ἐπὶ τῶν ἀληθῶν μέν, οὐ πιστευομένων δέ*, ut ait Suidas. cf. Zenob. 2, 17 cum adn. Leutschii. Macar. 1, 84. ad Sagram fluvium decem milia Locrensium centum triginta milia Crotoniatarum fugaverant, anno a. Chr. circiter 580. Strab. 6, 261. Cic. N. d. 2, 2, 6. Iustin. 20, 3.

443

σαυνίον

Poll. 10, 143 *καὶ παλτὰ καὶ σαρίσσας καὶ σαυνία. τὸ μὲν ὄνομα ἐπ' ἀνδρείου αἰδοίου ἐστὶ παρὰ Κρατίνῳ. σαυνίον σαθρόν* penem languidum a Cratino dici putat Meinekius.

444

σκῖρον

Etym. m. 718 init. σκιρωθῆναι· φαμὲν ἐπὶ τοῦ ῥύπου τοῦ σφόδρα ἐμμένοντος καὶ δυσεκπλύτου. σκίρον δὲ τὸν ἀηδῆ ῥύπον καὶ Κρατῖνος λέγει. cf. Aristoph. Vesp. 925. Eupol. 277.

445

στρωματίτης

ἐν ᾧ ἑαυτοῖς στρώματα παρεῖχον. οὕτως Κρατῖνος. Phot. (cod. στρωματητης ἐνῶ ἐναυτοῖς — κρ|). Hesych. στρωματίτην· ἔρανόν τινα, ἐν ᾧ ἑαυτοῖς παρεῖχον τὰ στρώματα.

446

σφίγκτας

Κρατῖνος τοὺς κιναιδώδεις καὶ μαλθακούς. Phot. Hesych. σφίγκται· οἱ κίναιδοι.

447

σχιζίας

ὁ τετανὸς καὶ ἰσχνός. οὕτως Κρατῖνος. Phot. *Herculem* Dicaearchus (Clement. Alex. Protr. 2, 30 extr.) describit σχιζίαν, νευρώδη ... τετανότριχα (Meinek.).

448

ταμιεῖον

οἶκος ἐν ᾧ τὰ ἀναγκαῖα ἀπετίθεσαν, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος. Herodian. I 375, 26. Lentz.

449

τοκῶσα

εἶπε Κρατῖνος. Pollux 2, 7. i. e. *parturiens*.

450

τροπαῖον

ἡ παλαιὰ Ἀτθίς, ἧς ἐστιν Εὔπολις, Κρατῖνος, Ἀριστοφάνης, Θουκυδίδης· τρόπαιον ἡ νέα Ἀτθίς, ἧς ἐστι Μένανδρος καὶ οἱ ἄλλοι. Schol. Thucyd. 1, 30. cf. Suid.

451

φαγᾶς

Phrynich. Epit. 433 ἐχρῆν οὖν Κρατίνῳ πειθόμενον φαγᾶς εἰπεῖν, non καταφαγᾶς (cf. Lobeck). Herodian. I 51, 8 ἐπὶ σκώμ-

ματος τασσόμενα φαγᾶς καὶ καταφαγᾶς. cf. Aristoph. Av. 288. 9. Myrtil. 4.

452

χαλαίρυπος

Poll. 7, 39 *ἐν ᾧ δὲ ἐξέπλυνον, οὐ μόνον λίτρον . . . ἀλλὰ καὶ χαλαίρυπος, ὡς Κρατῖνος ὠνόμασεν. χαλαίρυπος* Iungermann] *ῥῦπος* A, *χάρυπος* BC. Hesych. *χαλαίρυπος· ὁ τῶν πλυνομένων ἱματίων ῥύπος.* idem *χαλέρυπον· τὸ ῥύμμα τὸ ἀπὸ τοῦ νίτρου γενόμενον, ὅ τινες νίτρωμα λέγουσι.*

453

χειρονομησείοντας

Pollux 2, 153 *Ἡρόδοτος* (6, 129) *ἐπὶ Ἱπποκλείδου . . . τοῖς ποσὶν ἐχειρονόμησεν. ὁ δὲ Κρατῖνος καὶ χειρονομησείοντας εἶπε.*

454

ψευδομαρτύριον

Pollux 8, 31 *Κρατῖνος δὲ καὶ ψευδομαρτύριον εἴρηκεν.* Cratinus sine dubio *ψευδομαρτυρίων* dixerat. cf. Heindorf. Plat. Theaet. 145 c.

455

ὠνυχισμένον

Κρατῖνος ἐπὶ τοῦ τετμημένου τοὺς ὄνυχας τέθεικεν. Bekker. Anecd. 13, 17. cf. Lob. Phryn. 289 sq.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

456

Zonar. 1366 *οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον . . . Φορμίων· τρεῖς ἔφη στήσειν τρίποδας, ἔπειτα ἔθηκεν ἕνα μολύβδινον. Κρατῖνος* (sequitur fr. 318). etiam prius exemplum ad Cratinum atque ad Trophonium referebat Meinekius, ita corrigens *ὁ Φορμίων τρ. ἀργυροῦς στ. ἔφη | τρίποδας, ἔπειτ' ἔθ. κτλ.* quorum versuum prior nequaquam numerosus est.

457

σκανδάληθρ' ἱστὰς ἐπῶν

Κρατῖνος. Phot. at eadem Aristoph. Ach. 687.

458

ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ

Zenob. 3, 77 et Diogenian. 4, 55 sine auctoris nomine. propter fr. 208, 3 Leutschius ad Seriphios referebat, ubi cf. quae diximus sub fr. 217.

459

τίς δέ σ' ἐτύφλωσεν; τίς ἀφείλετο λαμπάδος αὐγάς;

Diog. L. 7, 163 non addito auctoris nomine. ad Ulixes Cratini referebat Welckerus Mus. Rhen. I 588.

460

Ἐπειοῦ δειλότερος

Apostol. 7, 69 *οὕτως ἔλεγε Κρατῖνος ὁ κωμικός. ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηίδος φυλῆς καὶ δειλότερος φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.* si ulla Apostolio fides esset, fragmentum Cratini eum servasse censerem. sed quicumque praeter illum de hoc proverbio egerunt, Cratinum ipsum ita inrisum esse narrant. Zenob. 3, 81. Hesych. Suid. itaque apud Apostolium ut apud Suidam *ἐλέγετο* pro *ἔλεγε* scribendum videtur.

461

κεράμιον οἰνηρόν

Κρατῖνος. Pollux 7, 161. pertinere haec possunt ad fr. 187, 6.

462

κυρηβάσασθαι

(cod. *κυριβ.*) *διαμαχέσασθαι· οὕτως Κρατῖνος.* Phot. idem *κυρηβάσασθαι· διαμαχέσασθαι* (cod. *κυρειβ.*). *κυρηβάζεσθαι· λοιδορεῖσθαι. κυρριβάζεσθαι· λοιδορεῖσθαι, διασύρεσθαι.* Hesych. *κυριβάσασθαι· διαμαχέσασθαι. ἀπὸ τῶν κριῶν καὶ τῶν τράγων.* Photius Cratinum nominavisse videtur pro Aristoph. Eq. 272.

Praeterea cf. Cratetis fr. 45. 46. 50.

ΚΡΑΤΗΣ

Aristoph. Eq. 537 sq. cum schol. Aristot. Poet. 5, 5. Anonym. De com. III p. XV Duebn. Meinek. I 58 sq. Bergk. R. c. Att. 276. Fritzsch. Quaest. Arist. I 239 adn. 45.

ΓΕΙΤΟΝΕΣ

De tempore et argumento non constat. ebrios in hac fabula poetam in scaenam induxisse narrat Athen. 10, 429 a. Meinek. I 61.

1

νῦν μὲν γὰρ ἡμῖν παιδικῶν ἅλις
ὅκως περ ἀρνῶν ἐστι γαλαθηνῶν τε καὶ
χοίρων.

Athenaeus 9, 396 d *Κράτης Γείτοσι.* *ἡμῖν* A] *ὑμῖν* VL. *ἅλις* Iacobsius Add. Ath. 208] *δαις.* praeterea Iacobsius *κώμων* post *παιδικῶν* inserit, *πᾶσι* post *ἡμῖν* addidit Bergkius R. c. Att. 278. Meinekius in ed. mai. post *ἡμῖν* supplet *νὴ Δία*, in ed. Ath. lacunam indicat. Bergkius hominem *Ionem* voluptatibus deditum loqui putat. a loco corruptissimo manus abstinere satius putabam; id unum dispicere mihi videbar, cum de cenae adparatu poeta loqueretur, scribendum esse *περδίκων* pro *παιδικῶν.*

2

γλυκύτατον δ', ὦ Ζεῦ, βασιλείου μύρου.

Athenaeus 15, 690 d *βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι λέγων οὕτως. ὦ Ζεῦ*] *ὦζε* Porson. Hom. Od. 5, 455. *ὦ Ζεῦ δ' ὦζε* Bergk. R. c. Att. 277. Hesych. *βασίλειον· εἶδος μύρου.* Sappho ap. Athen. ibid. *βρενθείῳ βασιληίῳ.* sine dubio id genus unguenti significatur, quo rex Persarum utebatur. Plin. N. h. 13, 2 *unguentum Persarum genti se debet.*

3

οὐκ ἔστι μοι λυχνίδιον.

Κράτης ἐν Γείτοσιν. Poll. 10, 118 *δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς.*

4

ὗς διὰ ῥόδων

ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων. Phot. Suid. cf. Apostol. 17, 71.

5

εἰ σοφὸς ᾖ

Κρατῖνος Γείτοσιν. Bekker. Anecd. 144, 27. *Κράτης* Meinek. I 64. eiusdem syntaxis exempla et Bekkeri grammaticus ipse addit et in vetustiore Atthide haud pauca exstant. cf. Cratin. 28.

6

καρδοπογλύφος

ὡς Κράτης εἴρηκεν ἐν Γείτοσιν. Pollux 7, 179.

7

πεσσονομεῖν

τὸ πεσσοῖς παίζειν Κράτης εἶπεν ἐν Γείτοσιν. Pollux 7, 204.

ΔΙΟΝΥΣΟΣ

Meinek. I 64. Fritzsch. Quaest. Arist. I 240 adn. 45. fragmenta non exstant.

ΗΡΩΕΣ

8

οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετο
αὐτούς, εἶτα δ' ἔστ' ἀληθῆ.

Hesych. οὐκ ἀσκίῳ· οὐκ ἀσκίῳ — ἀληθῆ. ἐπὶ τῶν τὰ κενὰ δεδοικότων, ἐπεὶ κενὸς ὁ ἀσκός. Proverbia Bodlei. 715 p. 86 c οὐκ ἄσκιον· εἴρηται ἐπὶ τῶν τὰ κενὰ δεδοικότων. Κράτης Ἥρωσιν οὐκ ἀσκίῳ γ' ἐμορμολύττετ' αὐτούς. ἐμορμολύττετο | αὐτούς Fritzsch. De com. gr. fr. 4] ἐμορμολύττετ' αὐτούς. εἶτα δ'] ἐπεὶ τάδ' Meinek. ἄν, εἰ Fritzschius cum interrogandi signo in fine. etiam in tetrametros redigi posse οὐκ — ἐμορμολύττετ' αὐτόν, εἴ γε | τάδ' monuit Meinek. — Phot. οὐκ ἀσκίῳ· ἀντὶ τοῦ κενῷ· ἀσκίοις γὰρ τὰ παιδία μορμύσσεται. cf. Diogen. 2, 65. semper Attici μορμολύττεσθαι. Aristoph. Av. 1245. Plat. Gorg. 473 d. Crit. 46 c. Ruhnk. Tim. 182. ceterum Macarii 7, 68 σκιᾷ μορμολύττεσθαι varietatem aliquam (οὐ γὰρ σκιᾷ) videtur indicare.

9

οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν
καὶ τῆς ἀθάρης.

Bekker. Anecd. 352, 2 et Suidas ἀθάρην· οὐκ ἀθήραν (ἀθαρὴν Bernhardy) τὴν ἐρεικτὴν καλοῦσιν. Κράτης Ἥρωσιν. τρύβλιον Meinek.] τρυβλίον. Herodian. I 357, 15 Lentz.

10

τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων.

Suidas ἀνεκὰς ψιλῶς τὸ ἄνω λέγουσι .... Κράτης Ἥρωσι. Κράτης Meinek.] Κρατῖνος. βλέπων] τρέπων Bernhard. '*sursum cervicem* sc. tolle. simili ellipsi μὴ τριβὰς ἔτι'. Meinek. at tali praecepto participium addi non memini. fortasse τὸν αὐχέν' ἐκ γῆς ἀνεκάς· εἰς αὐτοὺς βλέπε. sed fieri potest etiam ut accusativus pendeat ex verbo in eis quae praecedebant aut sequebantur omisso. ἀνεκάς Herodian I 511, 7 Lentz. ἄνεκας Apollonius Bekker. Anecd. 570, 25. Lob. Phryn. 270 extr.

11

ἁλτῆρσι θυλάκοισι χρῆσαι τὸ μέγεθος.

Pollux 3, 155 Κράτης ἔφη ἐν Ἥρωσιν. Luc. Anach. 27 ὑπεράλλεσθαι τάφρον εἰ δέοι ..., καὶ πρὸς τοῦτο ἀσκοῦνται ἡμῖν, ἔτι καὶ μολυβδίδας χειροπληθεῖς ἐν ταῖν χεροῖν ἔχοντες. eae μολυβδίδες sunt ἁλτῆρες. iubetur nescio quis, ironice sine dubio, globis plumbeis uti tantis, ut sacci vel culei esse videantur. cf. Cratin. 234.

12

ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ.

Pollux 10, 90 *ἐπὶ δὲ τούτοις καὶ κανᾶ καὶ κάνητα καὶ κανίσκια. καὶ κάνητα μὲν Κράτης ἐν Ἥρωσιν εἶπεν κτλ.* Phot. *ὁ κάνης τῆς κοίτης ὑπερέχει· ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.* quibus addunt Prov. Coisl. 4, 17 Leutsch. *κοίτη γὰρ ἡ κίστη, εἰς ἣν τὰ βρωτὰ ἐμβάλλουσιν. κάνης δὲ τὸ ἐπίθεμα τῆς κοίτης.* cf. Poll. 10, 91. at hic nomina *κοίτη* et *κίστη* confusa esse docui Mus. Rhen. XXX 414 sq. *κοίτη* potius *lectus*, *κάνης stragulum* est, et hoc lecto maius esse significatur.

13

ῥιπίδι κοπραγωγῷ

Pollux 10, 175 *καὶ ῥιπίδα δ' ἄν τις φαίη πλέγμα τι ψιάθῳ ἢ φορμῷ παραπλήσιον. Κράτης δ' ἐν τοῖς Ἥρωσιν ἔφη ῥ. κ.*

ΘΗΡΙΑ

Athenaeus 6, 268 e eclogis de prisca hominum felicitate exscriptis *ἐχρησάμην*, inquit, *τῇ τάξει τῶν δραμάτων, ὡς ἐδιδάχθη.* itaque cum Cratetis ecloga Cratineam sequatur, post Plutos Cratini Feras actas esse constat. nomen fabulae inde repetitum est, quod antiquitus animalia sicuti homines locuta esse et mente ac ratione praedita et propterea comedi non solita fuisse credebantur. cf. Plat. Politic. 272 b. Xen. Comment. 2, 7, 13. Bergk. R. c. Att. 278. duo oratores inductos fuisse, quorum alter mollem vitam, simplicem naturaeque legibus convenientem alter commendaret, facile adparet conlatis eis quae Athenaeus dicit 6, 268 init.

14

A. ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ' οὐδὲ δούλην,
ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;
B. οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τὰ πάντ' ἐγὼ ποιήσω.
A. τί δῆτα τοῦτ' αὐτοῖς πλέον; B. πρόσεισιν αὔθ' ἕκαστον
τῶν σκευαρίων, ὅταν καλῇ τι. παρατίθου, τράπεζα.
αὕτη, παρασκεύαζε σαυτόν. μάττε, θυλακίσκε.
ἔγχει, κύαθε. ποῦσθ' ἡ κύλιξ; διάνιζ' ἰοῦσα σαυτήν.
ἀνάβαινε, μᾶζα. τὴν χύτραν χρῆν ἐξερᾶν τὰ τεῦτλα.
ἰχθύ, βάδιζ'. ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι.
οὔκουν μεταστρέψας σεαυτὸν ἁλὶ πάσεις ἀλείφων;

Athenaeus 6, 267 e *οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδ'*

ἐκτίθενται. Κρατῖνος μὲν . . . Κράτης δ' ἐν Θηρίοις· ἔπειτα κτλ. 3. ὁδοιποροῦντα Casaub.] ὁδοιπόρου τὰ. τὰ πάντ' Elmslei. Edinb. Rev. XIX 88] ταῦτα πάντα. 5. παρατίθου Elmslei.] παρατιθῶ. Casaub. παρατίθου ὦ. 7. διάνιζ' ἰοῦσα σαυτήν Dindorfius] λιανίζουσα σεαυτήν A. Piersonus Moer. 423 διάνιζε σύ γε σεαυτήν. Elmsleius ἰοῦσα νίζε σαυτήν. 8. χρῆν Iacobs. Addit. Athen. 159] χρή. ἐξερᾶν τὰ Schweighaeuserus] ἐξαιράντα A. 9. οὐδέπω 'πὶ Erfurdtus Observ. 461] οὐδέπω τἀπί L. οὐδέπο τἀπί PV. Elmsleius οὐδὲ τἀπί. 10. οὔκουν —; Dind.] οὐκοῦν. ἀλὶ πάσεις ἀλείφων Erfurdt] ἀλειπας εἰσαλειφων (sine accent.) A. ἁλσὶ πάσεις ἀλείφων Elmsleius metrum pessime corrumpens, quem tamen secutus est Meinekius. — in personarum notatione secutus sum Cobetum N. l. 18. ac sic Meinek. in Athen. 5. καλῇ ille ipse intellegendus est, qui ab altero αὐτὸς αὐτῷ διακονήσειν dicebatur. τι i. e. τῶν σκευαρίων. 6. σαυτόν A. αὕτη manifesto corruptum est: verum non emendandum, ut perperam proposueram Mus. Rhen. XXX 406 κοίτη — σαυτήν (sic apographa), sed ἅμης, παρασκεύαζε σαυτόν. ἅμητες enim et ἀμητίσκοι Atheniensibus in deliciis erant. 10. quid sit ἀλείφων discretum a πάσεις non intellego. fortasse scribendum est σεαυτὸν διαπάσεις ἀλεύροις.

15

ἀλλ' ἀντίθες τοι· ἐγὼ γὰρ αὐτὰ πάμπαλιν
τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς
ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου
ἐπὶ τῆς θαλάττης, ὥσθ' ἑκάστῳ ῥεύσεται
εἰς τὴν πύελον. ἐρεῖ δὲ θὔδωρ 'ἀνέχετε'.
ἔπειτ' ἀλάβαστος εὐθέως ἥξει μύρου
αὐτόματος, ὁ σπόγγος τε καὶ τὰ σάνδαλα.

Athenaeus 6, 268a ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμβάνων λόγον φησίν· ἀλλ' ἀντίθες τοι κτλ. — sic A, nisi quod v. 4 ῥεύσετ' et v. 5 ἀνεχετει (sine accentu), pro quo ἀνέχετε Dindorfius. nam δέ θ' ὕδωρ nihil aliud est quam δὲ θὔδωρ. — 1. πάμπαλιν] τἄμπαλιν Casaub. 4. ἐπὶ] ἀπὸ Bergk. R. c. Att. 282. 6. ἔπειτ' ἀλάβαστος] εἶθ' ἀλάβαστος Bergk. — sine necessitate Herwerdenus Obs. crit. 14 v. 4 ὥστε καὶ ῥυήσεται. cf. Pherecr. 130, 5. Eurip. fr. 388 N. et quae adnotavimus ad Aristoph. Eq. 526. pro αὐτὰ τἄμπαλιν fortasse scribendum αὐτὸ τοὔμπαλιν. Bekk. Anecd. 4, 16 αὐτὸ τοὔμπαλιν λέγεις. οἷον αὐτὸ τοὐναντίον λέγεις . . . τὸ μέντοι αὐτό πρόσκειται νῦν σημαῖνον τὸ ἀκριβῶς καὶ ἀληθῶς. — manifestum est vitae delicatae defensorem loqui. τοῖς ἐμοῖς i. e. *qui a me stant.* balnea calida defendit ut λόγος ἄδικος Aristoph. Nub. 1044—1051 (991). cf. Hermipp. 76. pollicetur autem se suis lavacra calida a mari ipso (ἀπὸ Bergk.) in balnea ducturum,

ita nimirum ut aqua maris frigida aquae ductu in balneum derivetur ibique calefiat, (quod moneo propter Meinekium), idque tam abundanter, ut ipsa aqua alveo repleto lavantibus dictura sit '*inhibete aquam*'. Phot. παιωνεῖον· ἰατρεῖον, θεραπευτήριον. nemo id praeter Cratetem videtur commemoravisse. erat sine dubio in Piraeeo.

16

ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων.

Harpocrat. *παρουσία ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία . . . Κράτης Θηρίοις κτλ.* omisso fabulae titulo Photius (399, 11) et Suidas *παρουσία*. Crameri Anecd. Oxon. II 498. *βίον* Harpocr. C. *παρουσία* BC. *περὶ οὐσίαν* D, qui *τε* omittit. *ἀπαθῆ* et pr. *περιουσίαν* Phot. cf. Cratin. 325.

17

*καὶ τῶν ῥαφάνων ἕψειν χρὴ * * **
ἰχθῦς τ' ὀπτᾶν τούς τε ταρίχους, ἡμῶν δ' ἄπο χεῖρας ἔχεσθαι.
B. οὐκ ἄρ' ἔτ' οὐδὲν κρέας, ὡς ὑμεῖς λέγετ', οὐδ' ὁτιοῦν ἐδόμεσθα,
οὐδ' ἐξ ἀγορᾶς οὐδὲ τάκωνας ποιησόμεθ' οὐδ' ἀλλᾶντας;

v. 1. 2 Athenaeus 3, 119 c *Κράτης Θηρίοις*. 3. 4 Pollux 6, 53 *ἔστι δὲ καὶ γαστρίδιον ἡδυσμένον, ὃ καὶ τάκωνας ἔνιοι κεκλῆσθαι οἴονται παρὰ Κράτητι τῷ κωμικῷ μόνῳ καὶ ἅπαξ εἰρηκότι ἐν Θηρίοις. οὐκ — ἀλλᾶντας· οἱ δὲ οἴονται τοὺς τάκωνας ἐκ ταγήνου κρέας ἢ στέατος τροχοὺς σὺν ἁλσὶ καὶ ξηροῖς ἡδύσμασι κοπέντας.* Hesych. *τακῶνες· τροχίσκοι στέατος κεκομμένου μεθ' ἁλῶν καὶ ξηρῶν ἀρτυμάτων.* utrumque fragmentum coniunxit Bergkius R. c. Att. 279. 3. *ἔτ' — ὁτιοῦν* Bergkius] *ἔστιν — ὅτι*. v. 1 lacunam statuit Meinekius quod non sit consentaneum bis in quattuor tetrametris clausula spondiaca usum esse poetam. quamquam sunt qui haec in dimetros digerant, atque ita a se ipse desciscens Meinekius in Athenaeo. cum neque *ἐσθίειν* neque *ποιεῖσθαι ἐξ ἀγορᾶς* Atticis sit usitatum, Cobetus Obs. crit. Plat. 191 *τάκωνας ἔτ' ὠνησόμεθ'*. cf. Hermipp. 28. Plat. 190. *εἰς ἀγορὰν ὑφαίνειν* Menand. apud Suid. *εἰς ἀγ.* — perperam: nam arsis soluta in quarto tetrametri anapaestici pede, ut omnino rara est, ita numquam in monosyllabum exit. accedit quod forum neutiquam apte commemoratur: multo enim fortius quisquis loquitur mirabundus cur ut ferarum defensor iusserat animalium carne abstinendum sit ita pergat 'nihil igitur carnis edere et *ne domi quidem* *τάκωνας* aut *ἀλλᾶντας* conficere licebit?' sed neque fori neque domus mentionem fecit: scribendum est *οὐδ' ἔτι χορδὰς οὐδὲ τάκωνας κτλ.* de particula *οὐδέ* repetita cf. Aristoph. Nub. 425. 629. 981. Soph. OR. 1377.

Praeterea cf. fr. 48.

ΘΗΣΑΥΡΟΣ

Meinekio I 64 non videtur scripta esse ab antiquae comoediae poeta.

ΛΑΜΙΑ

Philostr. Apollon. 4, 25 p. 165 *μία τῶν Ἐμπουσῶν ἐστιν, ἃς Λαμίας . . . οἱ πολλοὶ ἡγοῦνται. ἐρῶσι δ' αὗται καὶ ἀφροδισίων μέν, σαρκῶν δὲ μάλιστα ἀνθρωπείων ἐρῶσι καὶ παλεύουσι τοῖς ἀφροδισίοις, οὓς ἂν ἐθέλωσι δαίσασθαι.* Plut. Mor. 515 f *τὴν Λάμιαν λέγουσιν οἴκοι μὲν ᾄδειν (διάγειν?) τυφλήν, ἐν ἀγγείῳ τινὶ τοὺς ὀφθαλμοὺς ἔχουσαν ἀποκειμένους, ἔξω δὲ προϊοῦσαν ἐπιτίθεσθαι καὶ βλέπειν.* haec tamen Lamia an altera fabulae nomen dederit et quid Crates de ea narraverit non constat.

18

Schol. Aristoph. Eccl. 77 *τὸ τοῦ Λαμίου· ἀρσενικῶς δὲ Λαμίαν [εἶπεν. ἔστι δὲ καὶ θηλυκῶς ἡ Λάμια] ὑπὲρ ἧς ὁ Κράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι, ὅτι σκυτάλην ἔχουσ' ἐπέρδετο.* verba uncis inclusa addidit et *Κράτης* scripsit pro *Φερεκράτης* Meinekius. O. Schneid. Philol. XXXIIII 423 *[ἐν τἀγορᾷ] σκυτάλην ἔχουσ' ἐπέρδετο.* risisse videtur Cratetem Aristophanes non solum Eccl. 77, sed etiam Vesp. 1175, ubi quod commemoratur *ὡς ὁ Καρδοπίων τὴν μητέρα*, id ipsum quoque ex Cratete petitum esse arbitratur Meinekius.

19

ἐπεὶ τριπήχη Θετταλικῶς τετμημένα

Athenaeus 10, 418 c *ὅτι δὲ καὶ πάντες Θετταλοὶ ὡς πολυφάγοι διεβάλλοντο, Κράτης φησὶν ἐν Λαμίᾳ κτλ. ἐπεὶ] ἔπη* Casaub. 'dicta haec in hominem sesquipedalibus verbis utentem'. Meinek. at quis praestet nomen ad quod pertineret *τριπήχη* non in eis fuisse positum quae perierunt?

20

ἡμίεκτόν ἐστι χρυσοῦ, μανθάνεις, ὀκτὼ 'βολοί.

Pollux 9, 62 *οἱ μέντοι ὀκτὼ ὀβολοὶ ἡμίεκτον ὠνομάζοντο, ὥς φησιν ἐν Λαμίᾳ Κράτης.* Hesych. *'βολοί· ὀβολοί.* de sententia versus cf. Hultsch Metrol. 164 not. 9 'ich sehe in dem *ἡμίεκτον* bei Krates, welches nach dem Wortlaut der Stelle als eine wenig bekannte Münze erscheint, das Zwölftel eines kleinasiatischen Staters, welches wegen seiner starken Legirung den sehr niedrigen aber nichts desto weniger wahrscheinlichen Curs von nur 8 Obolen in Athen hatte'. itaque non opus eo quod Herwerdenus Obs. crit. 6 proposuit *ἐστι, Χρυσέ, μανθ. κτλ.*

21

ὁ μῦθος ἀπώλετο

Κράτης Λαμίᾳ. Schol. Plat. 382 Bekk. Greg. Cypr. Leid. 2, 90 *ὁ μῦθος ἀπώλετο· ἐπὶ τῶν τὴν διήγησιν μὴ ἐπὶ πέρας ἀγόντων.* contra 91 *τούτῳ τῷ λόγῳ χρῶνται οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας.* de altera interpretatione cf. Schol. Plat. Theaet. 164 d, de altera Schol. Plat. Phileb. 14e. Reip. 10, 621b.

ΜΕΤΟΙΚΟΙ

Pherecrati 'rectius adsignari videtur ab Apollon. 404 b'. Meinek. I 64. at cf. etiam I 62. 70. 175.

22

λιποπωγωνία

Etymol. m. 698, 9 *πωγωνιήτης· πώγων πώγωνος πωγωνίτης. λέγουσι δέ τινες ὅτι ἀπὸ τῶν εἰς ων ληγόντων οὐκ ἔχει γεγονέναι πωγωνία. Κράτης γοῦν (δ' οὖν) ἐν Μετοίκοις λειποπωγωνία ἔφη. δύναται οὖν ὥσπερ οἰκία οἰκιάτης, οὕτω πωγωνία πωγωνιάτης καὶ πωγωνιήτης γενέσθαι. λιποπωγωνία* Sylburg. 'iambico metro magis congruit prima correpta.'

ΟΡΝΙΘΕΣ

Meinek. I 64. Fritzsch. De parops. 11. fragmenta non exstant.

ΠΑΙΔΙΑΙ

Pollux 9, 114 *Κράτης ἐν Παιδιαῖς· σχεδὸν δὲ περὶ τῶν πλείστων (παιδιῶν) ὁ ποιητὴς εἴρηκεν οὗτος ἐν τῷδε τῷ δράματι.* choreutas varia ludorum genera specie et instrumentis ludendi repraesentavisse opinatur Bergk. R. c. Att. 131.

23

παί-
ζειν δ' ἐν ἀνδρικοῖς χοροῖσι
τὴν κυνητίνδ', ὥσπερ εἰκός,
τοὺς καλοὺς φιλοῦσ' ἀεί.

Pollux 9, 114 *ἡ δὲ κυνητίνδα ἀπὸ τοῦ κυνεῖν, ὅ ἐστι καταφιλεῖν, ὠνόμασται . . . Κράτης ἐν Παιδιαῖς. φιλοῦσ' ἀεί* Meinek.] *φιλοῦσα δέ.* mutato *χοροῖσι* in *χοροῖς* etiam in tetrametros haec posse digeri idem monuit Meinek. ceterum quomodo mulier in *virilibus* choris ludibunda pulcherrimos quosque exosculari potuerit, non satis liquet.

24

τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ' ἔστιν.

Bekker. Anecd. 379, 31 et Suid. *ἄλλο ἕτερον· ἐκ παραλλήλου λέγουσιν . . . Κράτης Παιδιαῖς. ὅδ'*] Suid. *δ'.* non sine aliqua invidia Crates tragicorum poetarum in scribendis fabulis condicionem multo faciliorem esse queritur.

25

Athen. 11, 478f *κύλικα μὲν (τὸν κότυλον) οὐκ εἶναι· οὐ γὰρ ἔχειν ὦτα, παραπλήσιον δ' ὑπάρχειν λουτηρίῳ βαθεῖ, ποτηρίου δὲ εἶδος εἶναι. δύνασθαι δὲ καὶ τὸν παρὰ τοῖς Αἰτωλοῖς . . . λεγόμενον κότυλον, ὃν ὅμοιον ὄντα τοῖς προειρημένοις ἓν οὖς ἔχειν. μνημονεύει δ' αὐτοῦ Κράτης ἐν Παιδιαῖς.*

Cf. fr. 40 et quae ad Cratin. 415 adnotavimus. quae Pollux de puerorum ludis 9, 110—129 excerpsit, ea magnam partem ad hanc potissimum Cratetis comoediam pertinere consentaneum est.

ΠΕΔΗΤΑΙ

'Fuit Calliae fabula'. Meinek. I 64. fragmenta non exstant.

ΡΗΤΟΡΕΣ

Meinek. I 62. 5. fortasse apud Athenaeum 9, 369c pro *Ῥήτορσιν* scribendum est *Ἥρωσιν.*

26

Κηφισιακαῖσι γογγυλίσιν ὅμοια πάνυ . . .

Athenaeus 9, 369c *Κηφισιακῶν* (A *κηφησιακῶν*) *δὲ γογγυλίδων μνημονεύει Κράτης ἐν Ῥήτορσιν οὕτως Κηφισιακαῖσι κτλ.* post *οὕτως* ABP addunt *ὡς.* '*οὕτω πως*' Meinek. videtur tetrameter fuisse iambicus. de *Cephisia* pago prope Athenas sito Bursian. Geogr. gr. I 343.

ΣΑΜΙΟΙ

27

ἔπαιξαν γυναῖκες ἅτ' ὀρχηστρίδες καλαί,
ἐπὶ κοχωνῶν τὰς τρίχας καθειμέναι.

Daremberg Notices et extraits des manuscrits médicaux 1853, p. 215 *Κράτης ἐν Σαλαμινίοις φησίν.* indicavit H. Iacobi V p. XLIX. cf. Erotian. Klein. 20, 6. recte *Σαμίοις* Darembergius, qui *αἵ τ'* pro *ἅτ'*. Duebnerus *ἔπαιξαν οὖν (ἄρα) γυμναὶ καλαί τ' ὀρχηστρίδες | ἐπὶ τῶν κοχ. κτλ.* Goettlingius Ind. Ien. hib. 1853/4 p. 5

γυναῖκες ἔπαιξαν αἱ καλαί τ' ὀρχηστρίδες. H. Iacobi *ὀρχηστρίδες γυμναί τ' ἔπαιξαν καὶ καλαί,* adl. simul Cass. Dion. 62, 2 *τήν τε κόμην . . . μέχρι τῶν γλουτῶν καθεῖτο.* primus formam *ἔπαιξα* Atticis inusitatam esse Fritzschius animadvertit, qui De com. gr. fr. 6 tetrametris usus *ἐπῆξαν αἵ τ' ὀρχ. κἄλλαι καλαὶ γυναῖκες | μέχρι τῶν κ. τ. τρ. κ.* ⏑ _ ⏑. at scribendum est mutatione paene nulla *ἔπαιζον αἱ γυναῖκες ἅμα τ' ὀρχηστρίδες | καλαί, 'πὶ κοχ. κτλ.* cf. Eurip. Bacch. 695. Iph. T. 52. Aristoph. Thesm. 841. Philetaer. 18. de voce *κοχώνη* Lobeck. Pathol. elem. I 170 sq.

28

ἥξει δὲ ταχέως ἀργυρίου χλῆδον λαβών

Lex. Seguer. Bachm. I 419, 6 *χληδός· ὃν οἱ πολλοὶ χλὰς λέγουσιν. Κρήτης ταμίας· ἥξει κτλ.* indicavit H. Iacobi ibid. *Κράτης Τόλμαις* Bernhardy in Suid. *χλίδος. Κράτης Σαμίοις* recte Iacobi. Harpocr. *χλῆδος· πᾶν πλῆθος χλῆδος λέγεται, καὶ ἔστιν οἷον σωρός τις, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων, καὶ ἡ τῶν ποταμῶν πρόχωσις καὶ πολὺ μᾶλλον τῶν χειμάρρων.* Hesych. *χλῆδος· σωρὸς ἀπὸ καθαρμάτων καὶ ἡ τῶν ποταμῶν πρόχωσις, ὃ καὶ χέραδος καλεῖται.* cf. Aeschyl. fr. 16 N. Demosth. 55, 22. de accentu cf. Herodian. I 142, 6 Lentz.

29

σκυτίνη πότ' ἐν χύτρᾳ τάριχος ἐλεφάντινον
ἧψε ποντιὰς χελώνη πευκίνοισι κύμασιν,
καρκίνοι ποδήνεμοί τε καὶ τανύπτεροι λύκοι
ὑσοριμαχεῖν ἄνδρες οὐρανοῦ καττύματα.
παῖ' ἐκεῖνον,, ἄγχ' ἐκεῖνον. ἐν Κέῳ τίς ἡμέρα;

Athenaeus 3, 117 b *παρέλιπεν ὁ τένθης Ἀρχέστρατος συγκαταλέξαι ἡμῖν καὶ τὸ παρὰ Κράτητι τῷ κωμῳδιοποιῷ ἐν Σαμίοις λεγόμενον ἐλεφάντινον τάριχος, περὶ οὗ φησιν· σκυτίνη κτλ.* 2. *ποντιὰς χελώνη*] *ποντίας χελώνης* Erfurdt. Observ. 450. 3. *ποδήνεμοι* malebat Meinek.] *ποδάνεμοι.* 5. *ἐν Κέῳ τίς* Porsonus] *ἐγκαιῶτις* A. Hesych. *ἐν Κέῳ τίς ἡμέρα; ἐπὶ τῶν οὐκ εὐγνώστων. οὐδεὶς γὰρ οἶδεν ἐν Κέῳ τίς ἡμέρα, ὅτι οὐχ ἑστᾶσιν αἱ ἡμέραι, ἀλλ' ὡς ἕκαστοι θέλουσιν ἄγουσιν.* cf. Append. prov. (Leutsch I) 2, 61. traduxit Cratetis commentum Aristoph. fr. 333.

griphi speciem in his iure deprehendere sibi videbatur Casaubonus, quo mea quidem sententia multo minus bene rem gesserunt Bergkius R. c. Att. 280 ac Cobetus N. l. 149. de metro primi versus Meinekius conferri iubet Aristoph. Lys. 1014 sq. at Aristophanes viginti duo versus eiusdem metri coniunxit, in Cratetis fragmento

omnes versus eisdem numeris contineri et paeonicum exitum ex parodia Aristophanea (fr. 333) inlatum esse consentaneum est. itaque scribo *ἐν χύτρᾳ ᾽λεφάντινον ταρίχιον. τανυπτέρους λύκους* dixit proverbium secutus, de quo Diogenian. 6, 4 *λύκου πτερά· ἐπὶ τῶν ἀδυνάτων. πῶς γὰρ ἂν πτηνός τις γένοιτο λύκος;* v. 4 manifesto corruptus est. proverbio illo *ἐν Κέῳ τίς ἡμέρα* poeta morem ut videtur vulgarem imitatus ita utitur, ut simul spectatores interroget 'ecquis vestrum griphi mei sententiam intellexit?' id quod hodie certe non minus difficile est quam scire quotus dies sit in Ceo insula. aliquo tamen modo obscuritatem levari posse existimo scribendo in v. 2 *πευκίνοισι καύμασιν* i. e. *flammis piceis.*

30

ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ᾽ ἐπίβαλλε.

Zenobius 4, 41 *ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ᾽ ἐπίβαλλε· ταύτης μέμνηται Κράτης ὁ κωμικὸς ἐν Σαμίοις. τάττεται δὲ ἐπὶ τῶν διὰ γῆρας δεομένων ῥᾳστώνης τινὸς καὶ ἀναπαύλης. μετῆκται δὲ ἀπὸ στρατιωτικῶν ἵππων, οἷς γηράσκουσιν ἐπέβαλλον τὸ καλούμενον τρυσίππιον· ἔστι δὲ τοῦτο σιδηροῦς τροχίσκος . . . ὃν ἐκπυροῦντες ἐπέβαλλον ταῖς σιαγόσι τῶν ἵππων.* verba Zenobii praebui ut exstant apud Millerum (Mélanges 370). cf. Diogenian. 5, 27. Plutarch. Prov. 1, 13. Eupol. 318.

31

περιπόρφυρα ἱμάτια

Κράτης ἐν Σαμίοις. Pollux 7, 63.

ΤΟΛΜΑΙ

32

πρῶτα μὲν ταλαντιαῖος ὅστις ἔστ᾽ αὐτῶν λέγε.

Pollux 9, 53 *τὸ δὲ ἐν ταῖς Κράτητος Τόλμαις· πρῶτα μὲν κτλ. ἄδηλον εἴτε τιμὴν εἴτε ῥοπὴν λέγει.*

33

ποιμαίνει δ᾽ ἐπισίτιον,
ῥιγῶν δ᾽ ἐν μετὰ βύξου,
δέξετ᾽ ἐπὶ μισθῷ
σῖτος.

Athenaeus 6, 247 e *μνημονεύει δὲ τοῦ μὲν ἐπισίτου Κράτης Τόλμαις.* sic libri. *ἐπισίτιον*] *ἐπίσιτον* Porsonus ,recte sine dubio. *ῥιγῶν δ᾽*]

ῥιγῶντ' Porsonus. *μετὰ βύξου*] *Μεγαβύζου* Casaub. *δέξετ'*] *δέξεταί τ'* Porsonus. *σῖτος*] *σῖτον* Casaub. fragmentum et corrruptissimum et vel post omnes hominum doctorum emendationes obscurissimum. ne praesens quidem tempus (*ποιμαίνει*) quomodo cum futuro (*δέξεται*) recte consocietur adparet. versus sunt Pherecratei. cf. Pherecr. 79 et de sententia Pherecr. 32. miseram nescio cuius apud Megabyzum aliquem, i. e. hominem opulentum et adrogantem, condicionem describi monuerunt Casaubonus et Hemsterhusius Lucian. I 385. cf. Meinek. Menandr. p. 48.

34

καὶ δὴ ποδεῖα τριμίτινα

Pollux 7, 92 *τὰ δὲ πέλλυτρα καὶ εἶδος ὑποδήματος, ὥσπερ αὖ τὰ ποδεῖα ταὐτὸν ἦν ταῖς ἀναξυρίσιν, ἃς σκελέας τινὲς ὀνομάζουσιν. Κράτης ἐν Ἑορταῖς.* Meinek. *Τόλμαις.* Hesych. *ποδεῖα· ἐνειλήμματα ποδῶν.* scr. *ἐνειλήματα.* ac sic Photius *πόδεια.*

35

ἀστραγαλωτή (*τις*) *μάστιξ*

παρὰ Κράτητι ἐν ταῖς Τόλμαις ὠνόμασται. Poll. 10, 54.

36

ὄνος ἐν μελίτταις

Κράτης Τόλμαις· καὶ ὄνος ἐν μύρῳ· παροιμία. Photius et Suidas. Diogenian. 7, 32. Gregor. Cypr. Mosq. 4, 65. Apostol. 12, 80. *ὄνος ἐν μελίσσαις· ἐπὶ τῶν* [*ἐν*] *κακοῖς περιπεσόντων.*

37

ἐξ ὅτου ἦλθον

ἀντὶ τοῦ ἐξ οὗ. Κράτης Τόλμαις. Bekk. Anecd. 93, 16.

38

Athen. 14, 619a *καὶ βαλανέων ἄλλαι* (*ἦσαν ᾠδαί*), *ὡς Κράτης ἐν Τόλμαις.*

ΦΙΛΑΡΓΥΡΟΣ

Non videtur scripta esse ab antiquae poeta comoediae. Mein. I 64.

. . ΠΝΙΑΣΤΡΙΑ

Titulus mutilatus in catalogo librorum Piraeensi. Cumanudes *Δειπνιάστρια*, quae vox graeca neque est neque esse potest, cum nemo umquam *δειπνιάζειν* dixerit. neque vero cogitando invenire

possum vocem graecam quae in *πνιάστρια* exeat. cf. Wilamowitz. Anal. Eurip. 138sq.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

39

ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Stobaeus Floril. 116, 31. *μὲν* Voss. Gesn. marg.] *οὐ*. Meinekius in ed. min. contulit Critiam Plut. Mor. 879f. *χρόνου καλὸν ποίκιλμα τέκτονος σαφοῦ*. addo Diphil. Stob. Fl. 116, 32.

40

πάνυ γάρ ἐστιν ὡρικώτατα
τὰ τιτθί' ὥσπερ μῆλον ἢ μιμαίκυλα.

Athenaeus 2, 50e *Κράτης· πάνυ γάρ κτλ.* sine poetae nomine Eustath. 1633, 58. *ὡρικώτατα* B] *ὡρικωτάτη*. *μιμαίκυλα*] *μιμαίκυλον* Eustath. Dobraeus Advers. II 297 *πάνυ γάρ ἐστιν ὡρικὰ τὰ τιτθί'*. Meinekius *πάνυ γάρ ἐστιν ὡρική, τά τε* (vel *τὰ δὲ*) *τιτθί' ὥσπερ κτλ. πάνυ* cum superlativo gradu non coniungitur. itaque nescio an pro *πάνυ γὰρ* scribendum sit *Παιδιαῖς*. in altero versu scribendum videtur *μῆλα καὶ μιμαίκυλα*. *μιμαίκυλα* sunt *arbutei fetus* (*κομάρου*), quos Hehnius (Kulturpfl.[2] 351) cum dicit apud Aristophanem primum commemorari, fallitur.

41

ἀλλὰ σικύαν ποτιβαλῶ τοι, καναταλῆς ἀποσχάσω.

Pollux 4, 183 *σικύα ἕν τι τῶν ἐργαλείων (τῶν ἰατρικῶν) ὡς Κράτης ὁ κωμικός· ἀλλὰ κτλ. ποτιβαλῶ τοι* Meinek.] *ποτιβάλλω σοι. καναταλῆς*] *κἂν τὸ λῇς*, *si id volueris*, Kuhnius. *καὶ τὺ λῇς* Meinek. induxit poeta medicum sicuti solebant illi dorice loquentem. ita prorsus apud nos in praescriptis suis latino, si dis placet, sermone utuntur. cf. Epicrat. Athen. 2, 59c et de verbo *ἀποσχάζειν* Lob. Phryn. 219.

42

ἀδικοχρήματος

ὡς Κράτης. Bekker. Anecd. 343, 10.

43

ἀλλόκοτον

Κράτης ἐπὶ ὀνείρατος ἠλλαγμένου καὶ τερατώδους. Bekker. Anecd. 15, 5.

44

ἀναγκόσιτον

Κράτης. Athen. 2, 47 e.

45

ἀνεβιωσάμην

ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα. Κράτης. Bekker. 395, 19. Suid. (Bekk. Κράτ. . .)

46

ἀψάλακτος

ἀπαθής, ἀτιμώρητος. ἀψάλακτον γὰρ τὸ ἄθικτον. οὕτω Κράτης (κρ suprascr. αῖ A). Suid. — idem διαψαλάττεσθαι· . . . τὸ γὰρ ἀψάλακτον, ἄθικτον. οὕτω Κράτης. cf. Zonar. 536.

47

διαβάλλειν

τὸ ἐξαπατᾶν . . . Κράτης. Suid. cf. quae adnotavi ad Aristoph. Av. 1648.

48

ἐθελόσυχνος

παρὰ Κράτητι . . ἀπὸ τοῦ ἐθέλω· σημαίνει δὲ τὸν θέλοντα συχνάζειν. Etym. m. 299, 30. in Mus. Rh. XXX 415 sq. mihi videor demonstrasse scribendum esse ἐ θ ε λ ή σ υ χ ο ς . . . ἡ σ υ χ ά ζ ε ι ν et (conl. Hes. Op. 118) ad Θηρία hoc fragmentum referendum esse.

49

ἡμιμάσητοι

Κράτης. Pollux 6, 161.

50

μεμνοῖτο

Κράτης. Etym. m. 579 init. (Κρα^τ D. κρατῖνος M). scribendum videtur μεμνῇτο. Xen. An. 1, 7, 5 codices μέμνοιο, Schneiderus μεμνῷο, Cobetus N. l. 224 μεμνῇο. Aristoph. Plut. 991 μεμνῷτο solus M et γρ. n. cf. Schneider. Plat. Reip. 7, 518 a. Leg. 5, 731 c. 742 e. 6, 776 b. 11, 931 e.

51

παλίνδικον

Κράτης τὸν πολλάκις δικαζόμενον. Pollux 8, 26.

52

Schol. latinus Arati p. 36 Buhl. *et Crates comicus a Vesta incipiens profari carmina* (videtur). est enim proverbium *ἀφ' Ἑστίας ἄρχου*. Schol. Ven. Aristoph. Vesp. 846 *τῇ γὰρ Ἑστίᾳ τὰς ἀπαρχὰς ἔθος ἦν ποιεῖσθαι.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

53

ἀχράδων πρόσφερε

Bekker. Anecd. 475, 12 *Εὔπολις Ἀστρατεύτοισιν οἵ πεπείρους ἀχράδας πρὸς τῇ συκίδι προσετως καὶ ἀχράδων . . . . φερεκράτης.* Meinekius ed. min. p. VII et 164 Eupolidis fragmentum (33) voce *προσετως* terminat et reliqua ita explet: *καὶ 'ἀχράδων πρόσφερε' Κράτης.*

54

Σαρπηδονία ἀκτή

ἄκρα τῆς Θρᾴκης. Κράτης τὴν μεγάλην. Suid. Hesych. *Σαρπηδόνιον· τὸ μέγα. καὶ ἡ ἐν Θρᾴ[ση]κῃ καὶ Κιλικίᾳ πέτρα ὑψηλοτάτη.* Phot. *Σαρπηδών· μεγάλη· καὶ Σαρπηδόνιον δέσμα, τὸ μέγα. Σαρπηδὼν ἀκτή· ἄκρα τῆς Θρᾴκης· κρατίστην,* (scr. *Κράτης τὴν*) *μεγάλην.* haec ad *grammatici Cratetis* commentarios Euripideos pertinere docent Schol. Eurip. Rhes. 28 conl. cum schol. v. 5 (p. 19—21 Dindf.).

55

ἡμεροῦν

Κράτης· τὸ τὴν γῆν ἐξημεροῦν καὶ ἐργάζεσθαι. Hesych. — grammaticum intellegit Meinekius (251). *ἐπέχω.*

56

ῥῆσις

τὸ ψήφισμα. οὕτω Κράτης Phot. 'nisi Cratetem dicit grammaticum'. Meinek.

Praeterea cf. Cratin. 302. 373. 445. Antiphan. Stob. Flor. 115, 9.

ΦΕΡΕΚΡΑΤΗΣ

Anonym. De com. III p. XV 38 Duebn. Mein. I 66sq.

ΑΓΑΘΟΙ

Athenaeus Eratosthenis ut videtur iudicium secutus, quem comoedias Pherecrateas adcurate tractavisse constat, hanc fabulam ab aliis Strattidi tributam esse significat. 6, 248c. 10, 415c. 15, 685b. cf. Meinek. I 69. fortasse Pherecrateae fabulae *διασκευὴν* Strattis in certamen commisit. Bergk. R. c. Att. 288. de argumento quae idem 285 disputat, ea ita comparata sunt, ut neque vera neque falsa esse demonstrari possit.

1

ἐγὼ κατεσθίω μόλις τῆς ἡμέρας
πένθ' ἡμιμέδιμν', ἐὰν βιάζωμαι. B. μόλις;
ὡς ὀλιγόσιτος ἦσθ' ἄρ', ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία.

Athenaeus 10, 415c *τοιοῦτός ἐστι καὶ ὁ παρὰ Φερεκράτει ἢ Στράττιδι ἐν Ἀγαθοῖς, περὶ οὗ φησιν· ἐγὼ κτλ.* v. 3. 4 etiam 6, 248c *ὀλιγοσίτου δὲ μέμνηται . . . καὶ Φερεκράτης ἢ Στράττις ἐν Ἀγαθοῖς ὡς ὀλιγόσιτος κτλ.* Hercules aliquis loqui videtur. *μακρᾶς*, quod '*longa triremis*' contra 'linguam peccaret', Herwerdenus (Nov. add. crit. 4) cum *ἡμέρας* coniungebat non animadvertens id multo magis contra linguam peccare. Meinekius (Anal. crit. Ath. 109) *μικρᾶς τριήρους*, quod ironice vult intellegi. singulis hominibus choenix cottidie sufficiebat; triremi cum ducenti fere veherentur, quattuor medimnis cum hecteo in singulos dies opus erat. cf. Boeckh. Oec. Att.[2] I 396. Bergk. R. c. Att. 286.

2

λουσάμενοι δὲ πρὸ λαμπρᾶς
ἡμέρας ἐν τοῖς στεφανώμασιν, οἱ δ' ἐν τῷ μύρῳ
λαλεῖτε περὶ σισυμβρίων κοσμοσανδάλων τε.

Athenaeus 15, 685b *ἐν τοῖς ἐπιγραφομένοις δὲ Ἀγαθοῖς Φερεκράτης ἢ Στράττις φησί κτλ.* *λαλεῖτε* Dobr. Aristoph. Eccl. p. 196] *λαλεῖται. ἐν τοῖς στεφανώμασιν, ἐν τῷ μύρῳ*, i. e. in ea fori parte, ubi corollae et unguenta veneunt. cf. Aristoph. Eq. 857. chorus — nam ex eius cantico fragmentum excerptum est — Atheniensium quales tum erant mollitiem et inertiam reprehendere videtur. neque enim adsentior Bergkio R. c. Att. 285. cf. Aristoph. Eq. 1375. Eccl. 303. versus 3 est *Εὐριπίδειος τεσσαρεσκαιδεκασύλλαβος* altera arsi soluta. Hephaest. 15, 20.

3

δίφροι διωχεῖς

ἐν Φερεκράτους Ἀγαθοῖς εἰρημένοι, οἱονεὶ οἱ δύο ὀχοῦντες. Pollux 10, 47. Hesych. διωχή· δίφρος ὁ δυνάμενος δύο χωρεῖν. ubi cf. Schmidt.

4

ἰσχαδοπῶλαι καὶ ἰσχαδωνῶν

Φερεκράτης ἐν τοῖς Ἀγαθοῖς ἔφη. Pollux 7, 198.

ΑΓΡΙΟΙ

Athen. 5, 218 d ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπ' Ἀριστίωνος ἄρχοντος, i. e. Ol. 89, 4. Plat. Protag. 327 d ἄγριοί τινες, οἷοίπερ οὓς πέρυσι Φερεκράτης ὁ ποιητὴς ἐδίδαξεν ἐπὶ Ληναίῳ. ἦ σφόδρα ἐν τοῖς τοιούτοις ἀνθρώποις γενόμενος, ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι, ἀγαπήσαις ἂν εἰ ἐντύχοις Εὐρυβάτῳ καὶ Φρυνώνδᾳ. de quo loco quae commentus est Heinrichius, ea egregie refutavit Meinekius I 71 sq. Platonis sententiam optime explicaverunt Heindorfius (in eis quae ad Protag. adnotavit) et Madvigius (Kleine philol. Schriften 409 sq.). nomen enim fabula ut multae a choro accepit ex hominibus feris omnisque humanitatis expertibus (ἀγρίοις) composito, ad quos Athenienses quidam, pauci sine dubio, vitae civilis in sua urbe pertaesi (μισάνθρωποι) sicut Pithetaerus et Euelpides, accedebant inprudenter sperantes se inter homines inmanes meliorem iustioremque quam in civitate sua vitam inventuros esse.

5

ἦ μὴν σὺ σαυτὸν μακαριεῖς, ὦ 'τάν, ὅταν
οὗτοί σε κατορύττωσιν. Β. οὐ δῆτ'· ἀλλ' ἐγὼ
τούτους πρότερον· οὗτοι δὲ μακαριοῦσ' ἐμέ.
καίτοι πόθεν ληνοὺς τοσαύτας λήψομαι;

Pollux 10, 150 σοροποιοῦ σκεύη σορός . . ληνός . . . Φερεκράτης ἐν τοῖς Ἀγρίοις. ὦ τᾶν addidit Bentleius. μακαριοῦσ' ἐμέ K.] μακαριοῦσί με vel μακαριοῦσιν ἐμέ. sententiam optime explicavit Bentleius ‘cum laudasset nescio quis fortunas suas cum ob alia tum ob firmam credo valetudinem, etsi strenue nepotaretur, hunc alter excipiens *ita vero,* ait εἰρωνικῶς, *tum fortunas tuas laudabis, cum cognati tui te mox sepelient. non, non,* subiungit ille; *equidem eos omnes componam, et illi* μακαριοῦσί με, *superstitem et sanum*’.

6

φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο;
Β. ὁ Πεισίου Μέλης. Α. μετὰ δὲ Μέλητα τίς;
Β. ἔχ' ἀτρέμ', ἐγᾦδα, Χαῖρις.

Schol. Aristoph. Av. 858 et Suid. *Χαῖρις· μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις*. 2. 3 desunt in Rav. 2. *ὁ* addidit Musgravius. *Πεισίου Μέλης*] *Πεισουμελὴς* Suid. *μετὰ δὲ Μέλητα τίς* Porson.] *μετὰ Μέλητα* (Suidas *Μέλητος*) *ἦν*. Dobraeus *μετὰ τὸν Μέλητα δ' ἦν. ἀτρέμ'* Porson.] *ἀτρέμας*. de *Melete* et *Chaeride* cf. Aristoph. Av. 766. 858 cum interpr.

7

μὴ θαυμάσῃς·
τῶν γὰρ προτενθῶν ἐσμεν· ἀλλ' οὐκ οἶσθα σύ.

Athenaeus 4, 171d *μνημονεύει αὐτῶν* (*τῶν προτενθῶν*) *καὶ Φερεκράτης ἐν Ἀγρίοις*. cf. Aristoph. Nub. 1198 cum interpr.

8

πρὶν ἀνακυκῆσαι τὰς ἀπίους ἁρπάζετε.

Schol. Aristoph. Eccl. 355 et Suid. *ἄπιος· . . . ἐν ἀγρίοις Φερεκράτει κτλ. ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς. τὰς* Suid. EV] *τοὺς* Schol. *ἁρπάζετε* Suid.] *ἁρπαζέτω* Schol. — de sententia cf. Alexid. 32. in aqua adponebantur pira, ne flaccescerent. eadem de causa, ut videtur, aqua saepius *ἀνεκυκᾶτο*. '*pira rapitis, priusquam aqua probe laventur*'. Toup. Append. Theocr. 7 p. 15.

9

οὐδ' ἀποπροσωπίζεσθε κυάμοις; Β. πώμαλα.

Bekker. Anecd. 433, 18 *ἀποπροσωπίζεσθαι· ἀπονίπτεσθαι καὶ σμᾶσθαι τὸ πρόσωπον. οὕτω Φερεκράτης Ἀγρίοις· οὐδ' — πώμαλα.* Pollux 2, 48 *ἀπυπροσωπίζεσθαι δὲ τὸ καθαίρειν τὸ πρόσωπον εἶπε Φερεκράτης οὐδὲ ἀποπροσωπίζεσθε κυάμοις.* Hesych. *ἀποπροσωπίζεσθαι· ἐκμαλάσσεσθαι τὸ πρόσωπον ἢ ἐσοπτρίζεσθαι. πώμαλα* Aristoph. Plut. 66. fr. 346. his verbis *μισάνθρωποι* illi homines feros de vitae quam agant genere videntur interrogare, quo fortasse etiam pertinet fr. 8.

10

οὐ γὰρ ἦν τότ' οὔτε Μάνης οὔτε Σηκὶς οὐδενὶ
δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ·
εἶτα πρὸς τούτοισιν ἤλουν ὄρθριαι τὰ σιτία,
ὥστε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

Athenaeus 6, 263b *Φερεκράτης ἐν Ἀγρίοις*. Eustath. 1885, 29 *ἤλων ὄρθριαι τὰ σιτία*. 2. *αὐτὰς*] *αὐτοὺς* B. at cf. v. 4. *ἅπαντ' ἐν οἰκίᾳ* Canterus Nov. l. 4, 5] *ἅπαντα ταὐτῇ οἰκίᾳ* V. *ἅπαντα τὰν τῇ οἰκίᾳ* PL. 3. *ἤλουν* Piers. Moer. 81] *ἤλων* A, *ἤλων* C et

Eustath. — de nomine *Μάνης* (*Μανῆς* alii) cf. Aristoph. Av. 523 cum interpr. Strab. 12, 553 (*ἡ Καππαδοκία*) *δυσὶ χρῆται διαλέκτοις καὶ τοῖς ὀνόμασι πλεονάζει τοῖς Παφλαγονικοῖς . . . καὶ Τίβιος . . . καὶ Μάνης.* 7, 304 *ἐξ ὧν γὰρ ἐκομίζετο ἢ τοῖς ἔθνεσιν ἐκείνοις ὁμωνύμους ἐκάλουν τοὺς οἰκέτας, ὡς Λυδὸν καὶ Σύρον, ἢ τοῖς ἐπιπολάζουσιν ἐκεῖ ὀνόμασι προσηγόρευον, ὡς Μάνην ἢ Μίδαν τὸν Φρύγα, Τίβιον δὲ τὸν Παφλαγόνα.* Poll. 3, 76 *οἰκότριψ, οἰκοτραφής. ἡ δ' ἀντικειμένη τούτῳ σηκὶς καλεῖται ἢ οἰκογενής.* cf. Becker. Charikl.[2] III 25. 6. *θιγγανουσῶν* (*τῶν γυναικῶν*) cum accusativo casu neque Atticum neque sententiae aptum est: nam mulieres molas non *tangebant*, sed *circumagebant*. itaque Veri sim. 215 conieci scribendum esse *περιαγουσῶν*.

11

*οἶμαι δ' αὐτὸν κινδυνεύειν εἰς τὴν Αἴγυπτον * * *
οἴκους λέξεις, ἵνα μὴ ξυνέχῃ τοῖσι Λυκούργου πατριώταις.*

Schol. Aristoph. Av. 1294 *φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες ἢ τὸ γένος ἢ τοὺς τρόπους. Φερεκράτης Ἀγρίοις.* incredibilia de his versibus protulerunt Portus (cf. quae Dindorfius ad schol. Ar. adnotavit), Bergkius Comment. crit. I 27, Herwerdenus Obs. crit. 8 et Mnemos. nov. VI 56. recte Bothius voce *οἴκους* facile expelli potuisse statuit *ἀποικεῖν*. quo recepto scribendum videtur

*A. οἶμαι δ' αὐτὸν κινδυνεύσειν εἰς τὴν Αἴγυπτον ἀποικεῖν.
B. εἰκός γ'· ἕξεισ', ἵν' Ἄρη ξυνάγῃ τοῖσι Λυκούργου πατριώταις.*

Plat. Phileb. 31 d *πάνυ λέγεις εἰκός.* atque *εἰκός γε* in conloquio respondentis apud Platonem frequentissimum. *Ἄρη συνάγειν* ab Homero mutuatus est. Il. 2, 381. 19, 275. cf. 5, 861. 14, 149. 448. Phot. *πατριώτης ὁ βάρβαρος λέγεται τῷ βαρβάρῳ καὶ οὐ πολίτης. πατριῶται· οἱ δοῦλοι τῶν Ἑλλήνων. πολῖται δὲ οἱ ἐλεύθεροι· οἱ δὲ τοὺς βαρβάρους πατριώτας.* Hesych. *πατριώτης· παρὰ Ἀθηναίοις ὁ βάρβαρος καὶ οὐ πολίτης.* cf. Cobet V. l.[2] 244. itaque hoc ipso vocabulo Lycurgus *ὡς ξένος καὶ βάρβαρος κωμῳδεῖται.* quis sit *αὐτός* v. 1, ignoramus. quem postquam eorum qui conloquuntur alter in Aegyptum migraturum esse dixit, alter adsentiens '*credo*' inquit '*proficiscetur scilicet ut bellum inferat Lycurgi popularibus*', i. e. Aegyptiis. cf. Cratin. 30.

12

*ὅδε δὴ δελφίς ἐστι μολιβδοῦς δελφινοφόρος τε κεροῦχος,
ὃς διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων.*

Schol. Aristoph. Eq. 762 *δηλοῦται δὲ καὶ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις ὅταν λέγῃ· ὁ δὲ κτλ. ὅδε* K. *κεροῦχος, ὃς* Salma-

sius Exerc. Plin. 402] *κέρδος ὅς*. cf. Thucyd. 7, 41. *τοὔδαφος*] *τοῦ δάφους* V. *τοῦ ἐδάφους* G. cf. interpr. Eq. 762. '*ecce plumbeus delphinus paratus est*'. cf. Plat. 160, 1. Alcaei 22, 1.

13

ἐνθρύσκοισι καὶ βρακάνοις
καὶ στραβήλοις ζῆν· ὁπόταν δ'
ἤδη πεινῶσι σφόδρα,
ὡσπερεὶ τοὺς πουλύποδας
* * * *νύκτωρ περιτρώ-*
γειν αὑτῶν τοὺς δακτύλους.

Athenaeus 7, 316e *λέγουσι δὲ καὶ ὡς ἂν ἀπορήσῃ τροφῆς* (*ὁ πουλύπους*) *αὑτὸν κατεσθίει. ὧν εἷς ἐστι καὶ ὁ κωμῳδιοποιὸς Φερεκράτης κτλ. ἐν τοῖς ἐπιγραφομένοις Ἀγρίοις* . . Pollux 6, 45 *τὰς δὲ κοτινάδας ἐλάας στραβήλους* (*τραμβύλους* A) *ὠνόμασε Φερεκράτης*. 4. *ὡσπερεὶ*] *ὥσπερ* A. *ὡς περὶ* B. *πουλύποδας* Schweighaeuserus] *πολύποδας*. Attici semper *πουλύπους*, numquam *πολύπους*. v. 5. lacunam statuit Dobraeus Aristoph. Nub. 518 p. 22. Addend. 120, cuius etiam in describendis versibus rationem secutus sum: namque haud raro versus Eupolideus in duo versus ita dividitur, ut priorem partem saepius repetitam altera tamquam clausula sequatur. cf. fr. 96. *ἔνθρυσκον*, non *ἄνθρ.*, etiam Theophr. H. pl. 7, 7, 1 *ἔνθρυσκον ἡδύοσμον. βράκανον* syllabam primam corripere videtur Meinekio; apud poetas alibi non invenitur. v. 5 *νύκτωρ ἀναστάντας* Bergk. R. c. Att. 303. at surgere non opus est eum qui sibi digitos circumrodit. Herwerd. Mnem. nov. VI 56 *τοὺς πόδας νύκτωρ*. fort. *ῥυζῶντας* (*ῥύζοντας*) *νύκτωρ*. cf. Hermipp. 24. describit his verbis poeta victum *τῶν ἀγρίων*.

14

Schol. Aristoph. Vesp. 1509 *εἰς σμικρὸν τὸν Ξενοκλέα* (*Φιλοκλέα* Ald.), *καὶ τὸ φαλάγγιον μικρὸν καὶ συνεστραμμένον. δῆλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγρίων* (sic Flor. Christ. pro *ἀγγείων*)· *καὶ Καρκίνος μέν τις ἦν Θωρυκίου υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες μικροὶ κομῆται τότε καὶ νῦν εἰσι μικροὶ καὶ* (om. *καὶ* Ald.) *κομῆται. φίλαρχοι τότε παῖδες ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες. οἱ τέσσαρες* V. *ἢ τέσσαρες* G. in tetrametros trochaicos redegit Meinekius I 515:

τρεῖς τινες μικροὶ κομῆται καὶ φιλαρχικοὶ (*φιλορχ.* II 259) *τότε*
παῖδες ὄντες· νῦν δέ γ' εἰσὶ καὶ φιλαρχικώτεροι (*φιλορχ.*).
B. ἀλλὰ μὰ Δί' οὐ τρεῖς ἐκεῖνοί γ' εἰσίν, ἀλλὰ τέτταρες.

15

Ἀντρώνιος ὄνος

ὅταν δέωμαι γωνιαίου ῥήματος,
τούτῳ παριστῶ καὶ μοχλεύω τὰς πέτρας.

Schol. Dioscorid. Matthaei Med. gr. 361 *γωνιοειδῆ· ἀντὶ τοῦ μέγαν καὶ στερεόν, ὡσεί τις λέγοι γωνιαῖον λίθον. Πλάτων Λάκωσιν κτλ.* Meinekius *ὅταν δὲ — ῥήματος; B. τούτῳ παρίστω κτλ.* nec sic quidem quid hic sibi velit *παρίστασθαι* intellego. videtur potius *παριστῶ* compendio scripturae natum esse ex *τούτῳ παρισοῦμαι.* loquitur aliquis poeta tragicus (Sthenelum esse Meinekius conligit ex fr. 70), qui cum sui ingenii inopiam sentiat, ubi *angulari verbo* opus sit, nervosioris poetae vires se aemulari confitetur. cur Morsimum potissimum pronomine *τούτῳ* significari Fritzschius (Ran. p. 104) putet nescio.

68

καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι. B. τὸ σῶμ' ἐγώ,
ψυχὴν δ' ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ.

Schol. Aristoph. Av. 471 *ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶναι αὐτόν (Αἴσωπον) φησιν ἐν τοῖς Λάκωσιν οὕτως κτλ.* Suidas *ἀναβιῶναι. καὶ Πλάτων φησὶν ὁ κωμικός κτλ. μὴν*] *νῦν* Suid. *τὸ σῶμ' ἐγώ* om. Schol. *ψυχὴν*] *ψυχὴ* Suid. *ἀνήκειν* anon. ap. Gaisf. Suid.] *αὖ ἥκειν* Schol. *ἀπὸ νίκης* Suid. Kusterus *ἐπανήκειν.* Cobetus Obs. crit. 95 *B. τὸ σῶμά γε, | ψυχὴ δ' ἐπανῆκεν*, pro quo Meinekius *ἐπανῆλθεν* dicendum fuisse monet. Toeppelius Progr. Neobrand. 1851, 10 *B. τὸ σῶμ' ἐγώ. A. ψυχὴ δ' ἐπανήκεις ὥσπερ αἰσώπου (ἡ Αἰσώπου) ποτέ.* quae mihi quidem incredibilia videntur. in v. 1 Cobetum sequor, deinde scribo *ψυχὴν δ' ἀνῆκεν, ὥσπερ Αἰσώπου ποτέ,* (*Ἅιδης*). cf. Arist. Ran. 1462. fr. 488, 14. Cratin. 160. Plat. Symp. 179 c (*ὀλίγοις*) *ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ Ἅιδου ἀνεῖναι πάλιν*

τὴν ψυχήν, ἀλλὰ τὴν ἐκείνης (Ἀλκήστιδος) ἀνεῖσαν. imperat nescio quis alteri quem mortuum crediderat ut iure iurando adfirmet se vivere. cui ille *'corpus meum sane fuit mortuum, animum autem, ut olim Aesopi, Pluto remisit'*. poetam aliquem ex orco redeuntem conspici arbitratur Cobetus. de Aesopo Herodot. 2, 134.

69

ἄνδρες δεδειπνήκασιν ἤδη σχεδὸν ἅπαντες. Β. εὖγε.
Α. τί οὐ τρέχων σὺ τὰς τραπέζας ἐκφέρεις; ἐγὼ δὲ
νίπτρον παραχέων ἔρχομαι. Β. κἀγὼ δὲ παρακορήσων.
σπονδὰς δ' ἔπειτα παραχέας τὸν κότταβον παροίσω.
τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη προχείρους εἶναι,
καὶ προαναφυσᾶν. Α. τὸ μύρον ἤδη παράχεον βαδίζων
Αἰγύπτιον, κᾆτ' ἴρινον· στέφανον ἔπειθ' ἑκάστῳ
δώσω φέρων τῶν ξυμποτῶν. νεοκρᾶτά τις ποιείτω.
Β. καὶ δὴ κέκραται. Α. τὸν λιβανωτὸν ἐπιτιθεὶς εἶπε

* * * *

σπονδὴ μὲν ἤδη γέγονε, καὶ πίνοντές εἰσι πόρρω.
καὶ σκόλιον ᾖσται, κότταβος δ' ἐξοίχεται θύραζε.
αὐλοὺς δ' ἔχουσά τις κορίσκη Καρικὸν μέλος τι
μελίζεται τοῖς συμπόταις, κἄλλην τρίγωνον εἶδον
ἔχουσαν, εἶτ' ᾖδεν πρὸς αὐτὸ μέλος Ἰωνικόν τι.

Athenaeus 15, 665 b *τὰ ἐκ τῶν Λακώνων Πλάτωνος ἰαμβεῖα κτλ.* 3. *νίπτρον* Casaub.] *λίτρον. ἔρχομαι* Hermann. De metr. 176] *εἰσέρχομαι. νίπτρον παρέχων εἰσέρχομαι* Iacobs. Addit. Athen. 349. *παρέξων ἔρχομαι* Cobet. Obs. crit. 90. at etiam *παραχέων* futurum est. *παρακορήσων*] *παρακορήσω* Hermannus. 5. *προχείρους*] *πρὸ χειρὸς* Hermannus. cf. Eurip. Tro. 1207. *πρόχειρας* Meinek. Anal. Ath. 321 (conl. *εὔχειρ, ἑκατόγχειρ*) contra Atticorum consuetudinem. in ed. min. *προχειρίσασθαι.* Cobetus *τὴν παῖδα τοὺς αὐλοὺς ἐχρῆν ἔχειν πάλαι προχείρους.* an *διὰ χειρὸς εἶναι?* 6. *προαναφυσᾶν* Cobetus] *προσαναφυσᾶν. προαναφύσα* Meinek. conl. Soph. Ant. 487. *παράχεον βαδίζων*] *παραχέων βαδίζω* Bergkius. 7. *κᾆτ'*] *καὶ κατ'* P. *στέφανον* K.] *στέφανον δ'.* at cetera quoque *ἀσυνδέτως* efferuntur. 9. Meinekius in Athenaeo *Γ. καὶ δὴ κέκραται . . . τὸν λιβανωτὸν ἐπιτίθησι*, in Anal. 322 *κᾆτα τὸν λ. ἐπιτίθει σύ*, recte ut videtur. in ed. min. *κέκρατ'· ἔπειτα κτλ. κέκραται. τὸν λ. ἐπιτίθησιν ἡ παῖς* Elmsl. Edinb. Rev. XIX 85. ex *εἶπε* Meinekius in Athenaeo fecit *εἶτ' ἐπάγει* (scriptoris verba, non Platonis). post v. 9 plura excidisse primus perspexit Cobetus. nam fieri non poterat, ut cottabus et vina adferrentur (4. 8) ac simul convivae statim vino madidi cottabo dimisso (11) puellas cantantes audirent. 10. *σπονδὴ*

μὲν Schweighaeus.] *σπονδὴ με* A. *πίνοντές εἰσι* Porson. Misc. 247] *πίνοντες ἤδη*. 12. *τι* in fine add. Hermannus. 13. *κἄλλην* Schweigh.] *καλὴν* P. *ἄλλην* Casaub. 14. *εἶτ' ᾖδεν* Schweigh.] *ειτηδε* A. *τι* add. L.

conloquuntur foris duo servi, dum intus convivium celebratur. ac cena quidem iam finita est; fit libatio, tibicina modos meditari iubetur. deinde omissis quibusdam alter servus, qui antea introierat, rediens conservo quae in triclinio viderit narrat. cf. Philyll. 3 et Cobet. 90. 1. *σχεδὸν* ad *δεδειπνήκασι* arbitror pertinere. in v. 7 Plato scripsisse videtur *τἀγύπτιον καὶ τοἶρινον*. 8. Schol. Aesch. Choeph. 332 *νεοκρᾶτα . . νεωστὶ κεκραμένον. λείπει κρατῆρα*. 9. vitiosus in quarta sede anapaestus (*τὸν λιβανωτόν*) exterminandus est. 12. *Καρικὸν* manifesto corruptum. Photius *Καρικῇ μούσῃ· τῇ θρηνώδει. δοκοῦσι γὰρ οἱ Κᾶρες θρηνῳδοί τινες εἶναι καὶ ἀλλοτρίους νεκροὺς ἐπὶ μισθῷ θρηνεῖν*. cf. Meinek. Menandr. Philem. p. 91 et quae adnotavimus ad Aristoph. Ran. 1302. nihil convivio minus aptum quam modi Carici. scribendum *'ταιρικὸν* i. e. *ἑταιρικόν*, cuius aphaeresis exempla congessit Kruegerus Gr. gr. II 14, 9, 3. de *Ionicis* cantiunculis cf. Aristoph. Eccl. 883. 918. Athen. 7, 293a.

70

Harpocration 166, 3 *καὶ ἐν ταῖς διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας ποιητής. ἐκωμῳδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἔπη σφετεριζόμενον*. cum fr. 67 coniunxit Meinekius.

71

πάσας παραφερέτω

Πλάτων ἐν Λάκωσιν ἔφη. Athenaeus 9, 380e. *παραφερέτω* Schweighaeus.] *περιφερέτω*. verbi *παραφέρειν* exempla adferuntur. *πάσας*, i. e. *κύλικας*. *πλήσας* Meinek.

72

κιόκρανα

τὰς τῶν κιόνων κεφαλάς. Πλάτων Λάκωσιν. Bekker. Anecd. 105, 10. Pollux 7, 121 *κιόκρανα αἱ κεφαλαὶ τῶν κιόνων*. Xen. Hell. 4, 4, 5 *βουλευομένων δὲ . . . πίπτει τὸ κιόκρανον ἀπὸ τοῦ κίονος*. Lobeck. Phryn. 669.

73

μυλαβρίδες

σίλφαι αἱ μαλακαί· ἔλλευκοι· ἢ τρωξαλλίδες (*τριξαλίδες* cod.) *καὶ ἀλετρίδες* (sic Meinek., cod. *ἀετρίδες*). *Πλάτων Λάκωσιν*. Photius. scr. *μυλακρίδες*. cf. Aristoph. fr. 583.

Ceterum cf. Calliae fr. 15. Meinek. I 182.

ΜΑΜΜΑΚΥΘΟΣ

Cf. Metagenis fabula eo nomine inscripta. Meinek. I 175.

ΜΕΝΕΛΕΩΣ

Raptum Helenae ridicule videtur inmutavisse.

74

εἰπέ μοι,
ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.
B. ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Athenaeus 14, 641 b *Πλάτων δ' ἐν Μενέλεῳ ἐπιτραπεζώματα αὐτὰ (τὰ ἐπιφορήματα) καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα, λέγων οὕτως κτλ.* et 4, 170 f *ἔλεγον δὲ καὶ ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Πλάτων Μενελάῳ· ὡς κτλ.* (v. 2). Eustathius 1141, 5. Hesych. *ἐπιτραπεζώματα· τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα.* scribendum videtur *πῶς ὀλίγα κτλ.* *qui fit ut* tam paucae sint reliquiae? et v. 3 fortasse *B. οὐ γὰρ ὁ θ. — κατέφαγεν;*

75

Zenobius 6, 17 *τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ; ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γενομένους οὐκ ἐτίμων. τὸ οὖν ἵνα ἥρως γένῃ κατ' εὐφημισμὸν εἴρηται.* similiter Photius et Suidas *τί οὐκ ἀπήγξω* et omisso auctoris nomine Plutarch. Proverb. 1, 47. Platonis versus qui fuerit prorsus incertum est.

76

ἀγελαίους ἄρτους

Athenaeus 3, 110 d *Πλάτων δ' ὁ κωμῳδιοποιὸς . . . ἐν τῷ Μενέλεῳ ἐπιγραφομένῳ ἀγελαίους τινὰς ἄρτους καλεῖ.* Eustathius 265, 32. Bekker. Anecd. 326, 4 *ἀγελαῖον ἄρτον τὸν χυδαῖον.* cf. Eupol. 374.

ΜΕΤΟΙΚΟΙ

Meinek. I 175.

77

σημεῖα παρασημεῖα, κλεῖν παρακλείδιον

Pollux 10, 24 *ἐν μέντοι τοῖς Πλάτωνος τοῦ κωμικοῦ Μετοίκοις σημεῖα κτλ.* i. e. *signa adulterina* et *clavem adulterinam.*

78

Apollonius De pron. 69, 18 Schneider. *εὐθείας ἀμοιρεῖ ἡ προκειμένη γενική* (*ἐμαυτοῦ*). *οὐ γὰρ εἰ ἅπαξ εἴρηται, καὶ ταῦτα ὑπὸ κωμικῆς ἀδείας, ὡς ἐν Μετοίκοις Πλάτωνος, τοῦτο κανών ἐστι τῆς κατὰ φύσιν εὐθείας σιγηθείσης*. et 113, 19 (quae Schneiderus ab Apollonio abiudicat) *ἐν Μετοίκοις Φερεκράτους ἅπαξ ἐστὶν εἰρημένη καὶ ἴσως ἕνεκα τοῦ γελοίου*. perperam Pherecratem pro Platone nominavit. cf. Meinek. I 70. 175. 'inquilinos induxit soloece loquentes'. Cobet. Obs. crit. 60.

ΜΥΡΜΗΚΕΣ

Meinek. I 175.

ΝΙΚΑΙ

'Spectabant fortasse ad aureos illos stateras archonte Antigene Ol. 93, 2 e Victoriolis cusos, quos ob admixtam aeris partem ridet etiam Aristophanes.' Meinek. I 175. Aristoph. Ran. 725 cum schol. et interpr. Boeckh. Oec. Att.[2] I 33. 4. 769. 770. actam esse post Pacem Aristophanis cognoscitur ex fr. 81. eodem quo Autolycum Eupolidis anno editam esse arbitratur Cobetus Obs. crit. 82—86, i. e. Ol. 89, 4. Ol. 90, 1 Wilamowitz. Obs. crit. 55.

79

τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ.

Schol. Aristoph. Lysistr. 288 et Suidas *σιμός. τὸ σιμὸν ἀντὶ τοῦ πρόσαντες . . . Πλάτων ἐν Νίκαις κτλ. Πλάτων* Elmslei. Aristoph. Ach. 377] *πλατύ. δεῖ* idem] *ἀεί. δεῖ σ' ἔτι* Cobet. Mnem. V 203, qui praeterea *πρὸς ἀναβῆναι*. ceterum cf. Aristoph. fr. 74.

80

Schol. Aristoph. Av. 1297 *διαβάλλεται* (*Μειδίας*) *εἰς πονηρίαν, ὡς Πλάτων ἐν Νίκαις*. Zonaras 1342 *Μειδίας· κύριον. καὶ πονηρὸς Μειδίας.*

81

Schol. Platon. 331 Bekk. *κωμῳδεῖται δὲ* (*Ἀριστοφάνης*), *ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα. Εὔπολις Αὐτολύκῳ* (54), *Πλάτων Νίκαις*. significatur Pacis scaena 458—520.

82

ἰχθύων δὲ πλύμα

Πλάτων ἐν Νίκαις εἴρηκεν ὁ κωμικός. Pollux 7, 40.

ΝΥΞ ΜΑΚΡΑ

Nox significatur ea qua Hercules natus est. itaque argumentum idem fuit atque Archippi Plautique Amphitruonis. Mein. I 176. Cobet. Obs. crit. 120.

83

ἀλλ᾽ αὖ γέλοιον ἄνδρα μου μὴ φροντίσαι
μηδέν.

Bekker. Anecd. 384, 10 *ἀλλ᾽ αὖ· ἀντὶ τοῦ ἀλλὰ πάλιν. Πλάτων Νυκτὶ μακρᾷ κτλ.* *αὖ* Bekkerus] *οὐ* cod. *μου μὴ* Bekker.] *μοι.* Herwerdenus Nov. add. crit. 9 *γέλως τὸν ἄνδρα*, conl. Demosth. 4, 25 *ἐπεὶ νῦν γε γέλως ἔσθ᾽ ὡς χρώμεθα τοῖς πράγμασιν.* videtur autem Alcmena indignari de Amphitruonis securitate.

84

ἐνταῦθ᾽ ἐπ᾽ ἄκρων τῶν κροτάφων ἕξει λύχνον
δίμυξον.

Athenaeus 15, 700f *Πλάτων ἐν Νυκτὶ μακρᾷ κτλ.* tetrameter, ut volebat Iacobs. Add. Ath. 371, esse non potest propter anapaestum in sede quarta. *ἐνταῦθ᾽*] *ἐντεῦθεν* Meinekius, scilicet ut amoveret vitiosam positionem debilem (*ᾰκρων*). fortasse scribendum est *ἐπ᾽ αὐτῶν τ. κρ.* *ἕξει*] *ἥξει* P. numeros choriambicos non recte restituebat Reisig. Coniect. 101. cum fr. 85 quodammodo coniunctum fuisse censet Meinekius.

85

ἕξουσιν οἱ πομπῆς λυχνούχους δηλαδή.

Athenaeus 15, 562 Schweigh. 1561 Dind. *Πλάτων ἐν Νυκτὶ μακρᾷ κτλ.* *πομπῆς* Meinek.] *πομπεῖς.*

86

κᾆθ᾽ ἧκεν ἄρτους πριάμενος
μὴ τῶν καθαρύλλων, ἀλλὰ μεγάλους Κιλικίους.

Athenaeus 3, 110d *Πλάτων δ᾽ ὁ κωμῳδιοποιὸς ἐν Νυκτὶ μακρᾷ τοὺς μεγάλους ἄρτους καὶ ῥυπαροὺς Κιλικίους ὀνομάζει διὰ τούτων κτλ.* Eustathius 1817, 60 (*κᾆτα* omittens). *κᾆθ᾽ ἧκεν ἄρτους* Meinek.] *κᾆτ᾽ ἄρτους ἧκε.* magnopere offendit *μή.* Meinekius in Athen. *B. μὴ — Κιλικίους*; in Anal. crit. 51 *B. μὴ τῶν καθαρύλλων*; *A. μάλλὰ κτλ.*

87

αὐτοσχεδίασμα

Pollux 6, 142 *τὸ δ᾽ ἐν τῇ Νυκτὶ μακρᾷ Πλάτωνος αὐτοσχε-*

δίασμα φαῦλον. 'ferenda non est Pollucis adrogantia, qui saepe vocabula fastidiose sine causa spernit, aliis non intellectis ineptas significationes de suo addit.' Cobet. Obs. crit. 59.

ΞΑΝΤΡΙΑΙ Η ΚΕΡΚΩΠΕΣ

Perperam *Ξάνται* etiam ind. Andronici. Herculis apud Omphalen commorationem hac fabula contineri monuerunt Lobeck. Aglaoph. 1302. Meinek. I 176. Cobet. Obs. crit. 119. de Cercopibus cf. quae adnotavimus ad Cratin. 12 et ad Hermippi Cercopes.

88

τῶνδε βουλευτὶς πόνων

Etymol. m. 595, 40 *βουλευτής, βουλευτίς. τῶνδε βουλευτὶς πόνων, ἐν ταῖς Ξαντρίαις.* dubitatur utrum Aeschyli dicantur an Platonis Xantriae. cf. Meinek. Cur. crit. 39. 40. Gaisford. Hephaest. p. 91. Hermann. Aesch. fr. 179 (166 N.). Fritzsch. Ran. p. 417, qui Iunonem ab Aeschylo significari censet.

89

ἦν δὴ θόρυβος τευταζόντων.

Photius et Suidas *τευτάζειν. Πλάτων Ξάνταις* (*Ξαντρίαις*)· *ἦν — τευταζόντων. ἀντὶ τοῦ πραγματευομένων ἢ διατριβόντων.* Etymol. m. 755, 43 *Πλάτων· ἦν δὲ θόρυβος τευταζόντων.* cod. Dorvill. apud Gaisfordum Hephaest. p. 91 *Πλάτων ξτ* (superscripto σ) *ἦν δὴ θόρμος τευταζόντων. τευταζόντων*] *τευξάντων* cod. Phot. cf. Pherecr. 184. Telecl. 36. Phrynich. 36.

90

χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλογε παντοσόφων.

Hephaestio 15, 14 *γίνεται δὲ καὶ τριπενθημιμερὲς ἐκ τούτων, τὸ καλούμενον Πλατωνικόν, ἐν ᾧ τὰ μὲν ἑκατέρωθεν δύο δακτυλικά εἰσι πενθημιμερῆ, τὸ δὲ μέσον ἰαμβικόν. κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντρίαις κτλ. ξύλλογε*] *ξύλλογον* N. *παντοσόφων*] *παισόφων* CP. *παλαιογενῶν* Cobet. Mnem. V 203, conl. Aristoph. Nub. 358. at non omnes certe spectatores senes erant. itaque videndum an lepido oxymoro usus Plato scripserit *ματαιολόγων*. ex parabasi videntur excerpta esse.

ΠΑΙΔΑΡΙΟΝ

Cum parabasin habuerit, inter priores Platonis fabulas referendam esse censet Meinek. I 176. *Παιδίον* ind. Andron.

91

φέρε τοῦτ' ἐμοὶ
δεῖξον τὸ κανοῦν μοι δεῦρο μὴ μάχαιρ' ἔνι.

Schol. Aristoph. Pac. 948 *ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι . . . Πλάτων ἐν Παιδαρίῳ κτλ. τοῦτ' ἐμοὶ*] *τοῦτο δὴ* Dobraeus. 2. *μοι* om. V. *μὴ* Dobr.] *πῆ*. in altera Hephaestionis editione II 206 haec metro Eupolideo Gaisfordus accommodavit *φέρε | τοῦτ' ἐμοὶ δεῖξον τὸ κανοῦν δεῦρο μὴ μάχαιρ' ἔνι*, sententia ei metro minime apta.

92

εἰ μὲν μὴ λίαν . . . ὦνδρες, ἠναγκαζόμην
στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν.

Schol. Aristoph. Pac. 733 et Suidas *παράβασις· δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταί, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ἐν τῷ Παιδαρίῳ κτλ. μὲν* om. V. — lacunam quam indicavit Bentleius, Meinekius et Bergkius (II 1015) explent inserto *ὑπὸ τοῦδ'*, Aristophanem dici rati. cf. quae adnotavimus ad Aristoph. fr. 612. *κρατερῶς* Cobet. Obs. crit. 110, quod initio parabasis — id ipsum enim esse arbitratur — nondum quisquam nominari potuerit. Fritzschius Fr. Eup. v. conscr. 13 *εἰ μὴ λίαν, ἄνδρες, ὑφ' ὑμῶν ἐπηναγκαζόμην*, poetam cum spectatoribus expostulasse censens. cf. fr. 94.

93

ὥσπερ τοὺς πουλύποδας πρώτιστά σε

Athenaeus 7, 316 c *Πλάτων Παιδί. Παιδίῳ* Casaubonus. neque de sententia neque de metro constat. Bergkius versu Eupolideo *ὡσπερεὶ τοὺς πουλύποδας περιτρώγειν πρώτιστά σε*, quem versum propter anapaestum in alterius partis initio non recte vituperat Fritzschius Fr. Eup. v. conscr. 14.

94

Schol. Aristoph. Ran. 308 *ἐν ἔθει γὰρ εἶναι διασκώπτειν τοὺς ἀκροωμένους, ὡς καὶ Πλάτων ἐν Παιδαρίῳ ποιεῖ. Παιδαρίοις* Flor. Platonem non minus quam Aristophanem saepe etiam eos qui spectarent iocis lacessivisse dicit.

ΠΕΙΣΑΝΔΡΟΣ

Pisander is est, qui populari imperio everso quadringentorum dominationem instituerat. cf. quae adnotavimus ad Aristoph. Av. 1556. Hermipp. 9. Eupol. 31. 182. Hanov. Exercit. crit. 80 sq.

Meinek. I 176 sq. Ol. 89, 3 actam esse censet Meinek. I 180, Ol. 88, 3 Cobetus Obs. crit. 133. 4. cf. etiam Wilamowitz. Herm. XII 335 adn. 16.

95

ἤδη φαγών τι πώποθ', οἷα γίγνεται,
ὀψάριον ἔκαμες, καὶ προσέστη τοῦτό σοι;
B. ἔγωγε πέρυσι κάραβον φαγών.

Athenaeus 9, 385 d *ὀψάριον δὲ τῶν μὲν ζώντων ἡμεῖς λέγομεν. ἀτὰρ καὶ Πλάτων ἐπὶ τοῦ ἰχθύος ἐν Πεισάνδρῳ κτλ. γίγνεται*] *γείνεται* A. 3. *ἔγωγε* Dindorf.] *ἐγὼ δέ. μέγαν* in fine supplet Meinekius Pisandri aviditatem perstringi existimans. *τοῦτο*, i. e. *τὸ ὀψάριον. προσέστη taedio te adfecit.* Gregor. Corinth. 8 p. 41 *τὸ πολὺ τῆς ὀπώρας τῷ στομάχῳ προσίσταται, molestum est.* cf. Etym. 700, 20. Gataker. Antonin. 199 d. Schaefer. Dionys. Halicarn. De compos. verb. p. 141. Iacobs. Addit. Athen. 205. Cobet. Obs. crit. 131. 2.

96

χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις,
ὅπου σιδαρέοισι τοῖς νομίσμασιν
χρῶνται.

Schol. Aristoph. Nub. 249 *λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι . . . Πλάτων Πεισάνδρῳ. τοῖς* add. Bentleius. *νομίσμασι* delet Dindorfius. Hermannus cum Reisigio grammaticum De constr. verb. p. 384 secutus *ὅπου σιδαρέοις νομίζουσιν.* at apud illum grammaticum pro *Ἀριστοφάνης* scribendum esse *Ἀριστείδης* Dindorfius monuit et Cobetus Obs. crit. 129. recte Bentleius: *τοῖς ν. χρῶνται σιδαρέοισιν* idem est ac *τὰ νομίσματα ἔχουσι σιδηρᾶ.* ex Pisandri et Antiphontis conloquio haec petita esse arbitratur Cobetus.

97

ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος

Herodianus I 319, 25. II 348, 17 et 945, 2 *τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν . . . μέμνηται δὲ αὐτοῦ ἐπὶ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ κτλ. κνεφάλλων* Meinek.] *νεφάλλων* cod. *πτίλων* Meinek.] *πτιλῶν.* cf. Theopomp. 45. Pollux 10, 41.

98

γυνὴ γάρ, ἢν μὲν αὐτὴν
ἀεὶ κολάζῃς, ἐστὶ πάντων κτημάτων κράτιστον,
ἐὰν δ' ἀνῇς, ὕβριστόν ἐστι χρῆμα κἀκόλαστον.

Bekker. Anecd. 368, 12 *ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα· . . . Πλάτων δ' ἐχρήσατο ἐν Πεισάνδρῳ λέγων κτλ.* perperam Bekkerus in trimetros digesserat; recte Meinekius in tetrametros. de forma *ὕβριστος* cf. Lobeck. Paralip. 40. 1. Pathol. prol. 399 adn. 4. Pherecr. 162. *ἀεὶ κολάζῃς* Meinek.] *κολάζῃς ἀεί. ἀεὶ κολάζεις* apogr. in Sched. Ruhnk. II 8. cf. Cobet. Obs. crit. 131. 3. *ἐστι* add. Dobraeus Advers. I 620. Herwerd. Obs. crit. 31 *ἐὰν δ' ἀνιῇς, ἔστ'* (*ἔσθ'*) *ὕβρ. χρ.* Bekker. Anecd. 365, 21 et Suidas *ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα ἢ ἄνθρωπος. λέγοι δ' ἄν τις καὶ ὑβριστικόν.*

99

Suidas *Ἀρκάδας μιμούμενοι· παροιμία ἐπὶ τῶν ἑτέροις πονούντων . . . ταύτῃ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ. διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη.* similiter Apostol. 3, 73. Zenobius Milleri (Mélanges 365 aliter et plenius quam Zenobius Leutschii 2, 59) *τοὺς Ἀρκάδας μιμήσομαι· ταύτης μέμνηται Πλάτων ὁ κωμικός. τάττεται δὲ ἐπὶ τῶν μάτην πονούντων, παρόσον οἱ Ἀρκάδες μισθοῦ στρατευόμενοι ἄλλοις ἐνίκων.* Eustath. 302, 32 *καὶ Πλάτων ὁ κωμικὸς διὰ τὸ τὰς κωμῳδίας, φησίν* (*Παυσανίας*), *αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη.* cf. Bekker. Anecd. 218, 19. Macar. 2, 41. dubitatur utrum de Aristophane aemulo an de se Plato eo proverbio usus sit. cf. Meinek. I 162. ed. min. p. 376. Cobet. Obs. crit. 102—109. Aristophanem eo inrideri veri similius videtur conl. fr. 100, quamquam illius condicioni verba *διὰ τὴν πενίαν* minime conveniunt.

100

Zenobius Milleri (Mélanges 366 locupletius aliquanto quam Leutschii Zenobius 6, 7) *τετράδι γέγονας· ταύτης μέμνηται Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ. λέγεται διὰ Ἡρακλέα· τετράδι γὰρ γεννηθεὶς καὶ πάντων ἐπιφανέστατος καὶ ἀνδρειότατος γενόμενος ἐταλαιπώρει ὅμως, ὑπ' Εὐρυσθέως ἐπιταττόμενος· φασὶ δὲ ὅτι καὶ τετράδι θεὸς ἐνομίσθη.* cf. Apostol. 16, 34. Phot. et Suid. *τετράδι γέγονας.* Eustath. 1553, 6. cum autem Aristonymus (fr. 4), Amipsias (fr. 28), Sannyrio (fr. 5) Aristophanem hoc proverbio inriserint, Platonem eo in eandem sententiam usum esse consentaneum est.

101

Schol. Aristoph. Av. 1556 *καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει.* Pisandros dicit. cf. Meinek. I 177 sq.

102

Schol. Aristoph. Vesp. 592 *Εὔαθλος ῥήτωρ συκοφάντης . . . μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ.* cf. Cratin. 75.

103

Plutarchus Mor. 833 c κεκωμῴδηται δὲ (Ἀντιφῶν ὁ Ῥαμνούσιος) εἰς φιλαργυρίαν ὑπὸ Πλάτωνος ἐν Πεισάνδρῳ. attulit Meinekius anonymi verba apud Eudociam p. 59 καθάπτεται δ' ἡ κωμῳδία τοῦ Ἀντιφῶντος ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου συγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων. cf. Meinek. I 180.

104

Ἄρεος νεοττός

(nam ab his verbis novam glossam incipere vulgo cum Ἀρεοπαγίτης coniunctam intellexit Cobet. Obs. crit. 130) καὶ Ἄρεος παιδίον, ἐπὶ τῶν θρασυτάτων. κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ. Suidas. scilicet *timiditatem* Pisandri illo epitheto per ironiam ridebat. cf. Aristoph. Av. 835. 1556.

105

πολιτοκοπεῖν

Πλάτων ἐν Πεισάνδρῳ . . ἀντὶ τοῦ λοιδορεῖν καὶ κωμῳδεῖν εἶπεν. Bekker. Anecd. 57, 33. cf. Cobet. Obs. crit. 132.

Praeterea ad Pisandrum fr. 195 refert Meinekius.

ΠΕΡΙΑΛΓΗΣ

Photius (emendatus ab H. Iacobio V 5, cf. Herodian. I 80 Lentz. adn.) Περιάλγης ὡς Περιήρης τῷ τόνῳ κατὰ τοῦ δράματος τοῦ Πλατωνικοῦ. ut Ἡδυχάρης, Αἱρησιτείχης. cf. etiam Cobet. Obs. crit. 167 sq. Sueton. De inlustr. grammat. 9 (Orbilius Pupillus, Horatii magister) *librum cui est titulus Perialogos* (scr. Perialges; Περίαλγος ind. Andron.) *edidit, continentem querellas de iniuriis, quas professores neglegenter ab ambitione parentum acciperent.* sic Platonem de iniuriis, quas Athenienses malorum civium neglegentia et ambitione acciperent, hac fabula questum esse sententia est Meinekii I 181, vera sine dubio, modo ne id potissimum poetam spectavisse credamus. ineunte Ol. 91, quo tempore lege Syracosii comicorum libertas coercita erat, actam esse coniecit Cobetus Obs. crit. 173 sq. cf. Wilamowitz. Herm. XII 358 n. 43.

106

ὦ θεῖε Μόρυχε, πῶς γὰρ οὐ δαίμων ἔφυς;
καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς οὐδὲν ἐνθυμούμενοι.

Schol. Ald. Aristoph. Nub. 109 Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ κτλ. Suidas φασιανοί. ὁ δὲ

Λεωγόρας τρυφερός τις. Πλάτων λέγει κτλ. Athenaeus 9, 387a *κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος ὑπὸ Πλάτωνος ἐν Περιάλγει. πῶς γὰρ* H. Iacobi] *τέως γὰρ* Suid. *τε νῦν γὰρ* Ald. *νοῦν γὰρ* Bergk. R. c. Att. 345 conl. proverbio *μωρότερος Μορύχου* (Phot.). *οὐ δαίμων* Meinek.] *εὐδαίμων.* 2. *ἡ* Kusterus] *ἢ* Suid. *ἧ* Ald. 3. *τερπνῶς* Suid.] *τερπνὸν* Ald. Hanovius quae profert Exercit. crit. 124. 5, hodie vix ulli probabuntur. recte *πῶς γὰρ οὐ δαίμων*, siquidem *δαίμονες* sunt *ῥεῖα ζώοντες*, i. e. *τερπνῶς, οὐδὲν ἐνθυμούμενοι.* 'verba sunt Perialgis ipsius, qui suas curas et sollicitudines cum mollissima istorum inertia maestus comparabat.' Cobet. Obs. crit. 168. Mnem. VII 397. de Glaucetae cognomine cf. quae adnotavimus ad Aristoph. Av. 1291. *Morychi* aedes sitae erant in parte urbis tum non multum habitata, prope Olympieum. Wachsmuth Athen. 683 n. 4. cf. interpr. Aristoph. Ach. 887. Vesp. 506. 1142. Pac. 1008. de *Glauceta* Pac. 1008. Thesm. 1033. de *Leogora* Nub. 109.

107

ὃς πρῶτα μὲν Κλέωνι πόλεμον ἠράμην

Priscianus 18, 221 *Attici ἠράμην πόλεμον πρὸς τοῦτον καὶ τούτῳ. Πλάτων Περιάλγει ὃς πρῶτα μὲν κτλ. Περιαλγεῖ· ὃς* Porson. Med. 139] ΠΕΡΙΑΛΓΙΟC VO ΙΤΕΡΙΑΛΓΙΟC R. aliter alii. cf. Hertzii adn. itaque ut Hyperbolum et Cleophontem, sic antea Cleonem vehementer exagitaverat. potest et trimeter et pars tetrametri esse (ex epirrhemate, conl. Vesp. 1275sq.), quod moneo propter Cobetum Obs. crit. 169sq. probabilius tamen est Perialgem ipsum haec dicere, ita tamen ut Dicaeopolis dicit pro Aristophane Ach. 377 sq.

108

χρηστὸν μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον

Schol. Aristoph. Av. 1297 *δηλοῖ δὲ τοῦτο* (*ὀρτυγοκόπον* fuisse Midiam) *Ἀριστοφάνης ἐν Περιάλγει κτλ.* ac paullo post etiam Phrynichi *Ποάστριαι* Aristophani tribuuntur. rectius Schol. Lucian. 186 Iacob. *ὁ δὲ Μειδίας ὀρτυγοκόπος ἦν, ὡς Πλάτων Περιάλγει. χρηστὸν* om. V una cum notatione fabulae. *χρηστόν γε μὴ* Bergk. R. c. Att. 425. cf. etiam Fritzsch. Daet. 98 n. 57. Cobet. Obs. crit. 171 *χρηστόν τιν' ἄνδρα, μηδὲ κατὰ τὸν Μειδίαν, | τὸν ὀρτυγοκόπον.* at Mnem. nov. II 379 omisso quod in V deest *χρηστόν* scripsit *μὴ κατὰ Μειδίαν, | τ. ὀρτ.*

109

ἀλλ' ἡγούμεσθ' εὖ κἀνδρείως πολλῷ πάντων προέχοντες.

Priscianus 18, 275 *Attici προέχοντες τούτων καὶ τούτοις, καὶ πολλῷ πάντων. Πλάτων Περιάλγει κτλ. ἡγούμεσθ'*] ΗΓΟΥΝΕCΘΑ

VR. ΕΤΟΥΝΕCΕd Μ (Heinii). *εὖ κἀνδρείως*] ΟΥΚ ΑΝΔΡΙΩC VRM. principatum Atheniensium significari monet Meinekius. *εὖ κἀνδρείως* Aristoph. Thesm. 656. cf. Eq. 379. Vesp. 153. 450.

Ad Perialgem praeterea fr. 186 refert Cobetus Obs. crit. 172. 3.

ΠΟΙΗΤΗΣ

Diversa videtur fuisse comoedia ab ea cui inscribitur *Λάκωνες ἢ Ποιηταί.* cf. Meinek. I 182. ac discernit utramque et magno quidem intervallo ind. Andron.

110

τὸν δέλφακα
ἀπῆγε σιγῇ.

Athenaeus 9, 375 b *Πλάτων δ' ὁ κωμῳδιοποιὸς ἐν Ποιητῇ ἀρσενικῶς ἔφη τὸν δέλφακα κτλ.*

111

Athenaeus 14, 657 a *δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Πλάτων ἐν Ποιητῇ* *δ έ λ φ α κ α δ ὲ ῥ α ι ό τ α τ ο ν.* sic A. *δ' ὡραιότατον* Casaub. *δ' ἀραιότατον.* Toup. Emend. III 39 '*macilentum porcum*'. numeros paeonicos esse statuit Meinekius Anal. crit. 318. dubito ego quidem. ad eundem porcum videntur fr. 110 et 111 pertinere.

112

ὁρᾶτε τὸ διῆρες ὑπερῷον.

Schol. Aristoph. Ran. 1159 *Πλάτων Ποιητῇ κτλ.* Hesych. *διῆρες· ὑπερῷον. ἢ κλῖμαξ.* Meinekius *ὁρᾶτέ τοι τὸ* vel *ἱρᾶτε τόδε* et V 46 *ὁρᾶτέ τοι τὸ διῆρες ὑπερῷον τόδε.* Pollux 1, 81 *ὑπερῷα οἰκήματα, τὰ δ' αὐτὰ καὶ διήρη.* cf. Becker. Charikl.[2] II 103.

113

μόνος δ' ἄγευστος,
ἄσπλαγχνος ἐνιαυτίζομἀπλάκουντος, ἀλιβάνωτος.

Athenaeus 14, 644 a *ὁ κωμικὸς Πλάτων εἴρηκεν ἐν τῷ Ποιητῇ οὕτως κτλ.* cf. Eustathius 1345, 30 *ἀστείως Πλάτων ἄγευστος, ἄσπλαγχνος, ἀπλάκουντος, ἀλιβάνωτος. ἐνιαυτίζομαι 'πλάκουντος* Ahrens De crasi 21. 27. *ἐνιαυτίζυμἀπλάκουντος* Dindorfius, ut Aristoph. Ran. 509 *περιόψομἀπελθόντα.* cf. Ach. 325. convivam se neglegi queri opinatur Iacobsius Addit. Athen. 341. at scire velim quid sit conviva *ἀλιβάνωτος.* deus potius nescio quis loqui videtur, solus

sacrificiorum expers. *ἄσπλαγχνος*, i. e. *σπλάγχνων ἄμοιρος*. ante *μόνος* excidisse videtur *οἴνου* vel *καπνοῦ*.

114

θαυμάζω τοι τηνδὶ πιθάκνην
πότερ᾽ ὀστρακίνην ἢ βίβλον ἔχων τὴν δήποτε

Pollux 10, 190 *ἔξεστι δὲ καὶ ἀγγεῖα ὀστράκινα τὰ κεράμεα ἢ γήινα εἰπεῖν. ἐν γοῦν τῷ Ποιητῇ Πλάτων φησί κτλ.* neque de metro neque de verbis neque denique de sententia constat.

115

ψήφισμα ἔθηκεν

ἀντὶ τοῦ ἔγραψε. Πλάτων Ποιητῇ. Bekker. Anecd. 116, 21. Cratin. 264.

116

λάσανα

ἐφ᾽ ὧν ἀποπατοῦμεν. Πλάτων Ποιητῇ. Bekker. Anecd. 106, 30.

117

Σεβῖνος

ἴσως παρὰ τὸ βινεῖν, ἔστι δὲ καὶ Σεβῖνος ὠνομασμένος παρὰ Πλάτωνι Ποιητῇ. Schol. Aristoph. Ran. 427. *ἔστι δὲ καὶ Καλλίας Σεβῖνος ὠνομασμένος* Fritzsch. Ran. p. 199.

118

ψαφαρόν

τὸ ἁπαλόν. Πλάτων Ποιητῇ. Bekker. Anecd. 116, 24.

ΠΡΕΣΒΕΙΣ

Significatur ea legatio, quae ab Atheniensibus Epicrate duce, tum homine inter Athenienses potentissimo, Ol. 96, 2 ad regem Persarum missa est. contra Epicratem propter hanc ipsam legationem accusatum Lysias scripsit or. 27. pecunia enim corruptus erat a Tithrauste per Timocratem Rhodium. Paus. 3, 9, 8. sed a iudicibus absolutus paullo post ante bellum Corinthium cum Phormisio aliisque ad Artaxerxem missus iterum accusatus, sed rursus absolutus est; denique Ol. 98, 2 tertium legatus ad Tiribazum missus, quod suasor pacis Antalcideae exstitisset, ab Atheniensibus condemnatus est. Demosth. 19, 277 sq. Aristid. I 283 Dind. cum schol. Meinek. I 182. 3. Bergk. R. c. Att. 389—392. cf. praeterea Plut. Pelop. 30 extr. Aristoph. Eccl. 71. Athen. 6,

251a. et de Phormisio Aristoph. Ran. 965. Dinarch. 1, 38. Philetaer. Athen. 13, 570f, (v. 1—3). edita videtur fabula non multo post Ol. 96, 2.

119

κᾆτ' ἔλαβον Ἐπικράτης τε καὶ Φορμίσιος
παρὰ τοῦ βασιλέως πλεῖστα δωροδοκήματα,
ὀξύβαφα χρυσᾶ καὶ πινακίσκους ἀργυροῦς.

Athenaeus 6, 229f *Πλάτων δ' ἐν Πρέσβεσι κτλ.* 1. *κᾆτ' ἔλαβον* Meinek.] *κατέλαβον. Φορμίσιος* Schweighaeus.] *φόρμισος* BP. de articulo *τοῦ* prorsus inutilem dubitationem movit Herwerd. Nov. add. crit. 9.

120

κυάθους ὅσους ἐκλεπτέτην ἑκάστοτε

Athenaeus 10, 424a *κύαθον δ' ἐπὶ τοῦ ἀντλητῆρος Πλάτων εἴρηκεν . . . ἐν Πρέσβεσι κτλ. ἐκλεπτέτην* Bergk. R. c. Att. 392] *ἐκλέπτεθ'. ἐκλάπτεθ'* conl. Ach. 1329 Cobetus V. l.[2] 366. recte Bergkius. cf. fr. 121. significantur Epicrates et Phormisius, alteruter eorum fr. 121.

121

σκευάρια δὴ κλέψας ἀπεκήρυξ' ἐκφέρων

Harpocratio *ἀποκηρύττοντες· ἀντὶ τοῦ πιπράσκοντες . . . Πλάτων Πρέσβεσι κτλ. ἐπώλησε.* fortasse *σκευάρι' ἃ δή*. cf. 120. Bekker. Anecd. 429, 11 *ἀποκηρύττοντες· ἀντὶ τοῦ πιπράσκοντες. οὕτω Δημοσθένης καὶ Πλάτων.* Zonar. 264.

122

ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε

Schol. Aristoph. Eccl. 71 *οὗτος μέγαν πώγωνα ἔχων ἐπεκαλεῖτο σακεσφόρος. καὶ Πλάτων ὁ κωμικός φησιν κτλ.* dubitari non potest quin ex Legatis excerpta sint. cf. Plutarch. Pelop. 30, ubi codices *σκευοφόρος*. Harpocrat. *Ἐπικράτης . . . οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ σακεσφόρος ἐπικαλούμενος.* Etym. m. 361, 3 *Ἐπικράτης Ἀθηναῖος ὁ καὶ ἔφορος (σακεσφόρος* Maussacus) *ἐπικαλούμενος. ἄναξ ὑπήνης* dicit *παρατραγῳδῶν.* cf. Aesch. Pers. 378. Eurip. fr. 700 N.

123

Ἡράκλεις, τῶν βεμβράδων

Πλάτων Πρέσβεσιν. Athenaeus 7, 287d. cf. Phrynich. 50.

124

χαίρεις, οἶμαι, μεταπεττεύσας αὐτὸν διακλιμακίσας τε,
τὸν ὑπηνόβιον σπαρτιοχαίτην ῥυποκόνδυλον ἑλκετρίβωνα.

Aspasius Aristotel. Ethic. Nicom. 4, 7 *ἡ τῶν Λακώνων ἐσθὴς εὐτελὴς ἄγαν . . διὰ ταῦτα καὶ σκώπτουσιν αὐτοὺς οἱ κωμῳδιοποιοί, ὡς Πλάτων ἐν Πρεσβεῦσι* (*Πρέσβεσι*) *κτλ. διακλιμακίσας τε* Porson. Miscell. 232] *διακλιματίζεσθαι*. Hesychius *διακλιμακίσας· διαπαλαίσας. κλίμακες γὰρ καὶ κλιμακισμοὶ παλαίσματος εἶδος*. Etym. m. 267, 17 *διακλιμακίσας· διαπαλαίσας. κλῖμαξ γὰρ καὶ κλιμακισμὸς πάλαισμα ποιόν*. Pollux 3, 155 *καὶ πλαγιάζειν δὲ καὶ κλιμακίζειν παλαισμάτων ὀνόματα*. cf. Aristoph. Eq. 262. Soph. Trach. 520 *ἀμφίπλεκτοι κλίμακες* luctae genus ‘positum in eo, ut quis averteret adversarium atque a tergo complexus quasi per scalam dorsum eius conscenderet’. Hermannus. *ὑπηνόβιος* is videtur esse, qui ingenti barba (i. e. minaci vultu) victum quaerit. *ὑπηνοβότον* Naber. Mnem. nov. VIII 124. de Spartiatarum Athenis imitatoribus cf. Aristoph. Av. 1281. *ῥυποκόνδυλος* ut Aristoph. fr. 718. *μεταπεττεύσας* manifesto corruptum est. Photius *μεταπεττεύειν· τὸ μεταβάλλεσθαι καὶ μεταβαίνειν· ἀπὸ μεταφορᾶς τῶν πεττευόντων, οἵτινες πολλάκις μεταβάλλονται ἐν τῇ παιδιᾷ*. cf. Bekker. Anecd. 280, 9. est *suum errorem corrigere*, ut *μετατίθεσθαι*, non *alterum evertere*. cf. etiam Plat. Min. 316b. Becker. Charikl.[2] II 300 sq. scribendum est utique *καταπυκτεύσας*, ut *pugil pugilem*.

125

Harpocratio 91, 17 *οὗτος δὲ ὁ ῥήτωρ* (*Ἀνδοκίδης*) *καὶ ζητητής ποτε ἐγένετο, ὥς φησι . . Πλάτων ὁ κωμικὸς Πρέσβεσιν.*

126

ἁρμοστῆρας

ἐκάλουν Ἀθηναῖοι τοὺς εἰς τὸ εὖ ζῆν διατάττοντας, ὡς σαφῶς Πλάτων ὁ κωμικὸς δηλοῖ ἐν Πρέσβεσι τῷ δράματι. Maximus Dionys. Areop. Eccl. hier. 3, 3 p. 314. *Ἀθηναῖοι*] *Λακεδαιμόνιοι* Meinekius, apud Athenienses eos *κοσμητάς* vel *σωφρονιστῆρας* (*σωφρονιστάς*) dici monens. at ea nomina non ante Ol. 115 inveniuntur, cf. Schoem. Ant. gr.[2] I 525. et Lacedaemoniorum *ἁρμόσυνοι* sunt, non *ἁρμοστῆρες*. cf. Hesych. *ἁρμόσυνοι*. itaque quid statuendum sit nescio.

127

ἀπέσχαξε

Πλάτων Πρέσβεσι. καὶ σχᾶν τὸ σχάζειν. Suidas. Bekker. Anecd. 422, 29 *ἀπέσχαξεν* nulla addita interpretatione. cf. Lobeck. Phrynich. 219.

Ad Legatos praeterea fr. 194. 208 rettulerunt Meinekius et Bergkius R. c. Att. 395.

ΣΚΕΥΑΙ

Etiam Aristophani adsignabatur. Athen. 14, 628e *Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς*. attamen plerique consentiunt Platonis fuisse. ad scaenicam artem aliquo modo fabulam spectasse ex fragmentis cognoscitur. titulo vestitus tragici significari videntur. circiter Ol. 93 actam esse censet Cobetus Obs. crit. 51. 184.

128

ἅψαι μόνον σὺ κἂν ἄκρῳ τοῦ Μορσίμου,
ἵνα σου πατήσω τὸν Σθένελον μάλ' αὐτίκα.

Schol. Aristoph. Vesp. 1312 *Σθένελος δὲ τραγικός, ὃς διὰ πενίαν τὴν τραγικὴν ἀπέδοτο σκευὴν κακῶς πράττων ἐν τῇ τέχνῃ . . . Πλάτων Σκευαῖς κτλ.* *σὺ κἂν* Meinek.] *οὐκ ἂν.* *τοῦ Μορσίμου* Meinek.] *τῇ Μορσίμῳ*. Dindorf. *ἅψαι μόνον ἄκρῳ δακτύλῳ τοῦ Μορσίμου*, metro pravo, sive ictum posueris in altera syllaba vocis *μόνον*, sive priorem vocis *ἄκρῳ* produxeris. Herwerd. Obs. crit. 125 *τῷ δακτύλῳ* | *ἅψαι μ. σὺ κἂν ἄκρ. τ. Μ.* Cobetus Obs. crit. 184 *ἅψ. μ. τῷ δακτύλῳ τοῦ Μ.*, numeris pessimis. recte libri: ad vocem *ἄκρῳ* subaudiendum *τῷ δακτύλῳ*, ut saepius omittitur *χείρ*. in v. 2 scribendum *καὶ ξυμπατήσω* (*συμπατήσω* etiam Bergkius). saepissime enim particula *καί* imperativum vel optativum qui proprie dicitur modum sequitur. cf. Cratin. 144. Menandr. Stob. Ecl. phys. 1, 6, 1 (v. 6). Flor. 73, 40 (v. 3). monost. 317. 527. 618. Philippid. 18, 2. Athenion. 8. Andocid. 1, 70 *ὑπομνησάτω, καὶ ἀπολογήσομαι.* denique scribendum *αὐτίκα μάλα* pro *μάλ' αὐτίκα*, quod nusquam videtur exstare nisi Aristoph. Thesm. 750 (fort. *ἀποσφαγήσεταί γ' αὐτίκα μάλα*). cf. Eq. 284. 475. 746. Pac. 237. 367. Av. 202. Lys. 739. 744. Ran. 785. Eccl. 21. Plut. 432. 942 (*αὐτίκα δὴ μάλα*). ‘in iurgio cum alter Morsimum, Sthenelum alter tueri vellet, ait unus: *si tu Morsimum meum vel digito attigeris, ego tibi* tuum *Sthenelum protinus conculcabo pedibus.*’ Cobet. Obs. crit. 184.

129

καὶ τοῖς τρόποις ἁρμόττον ὥσπερ περὶ πόδα

Photius et Suidas *περὶ πόδα· οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσίν. Πλάτων . . . ἐν Σκευαῖς κτλ.* *ὥσπερ* Piers. Moer. 22] *ὡς*. Cramer. Anecd. Par. IIII 173, 23 *καὶ εν σκευαις και τοις τροποις αρμόττον ως περι ποδα*. Hesych. *περὶ πόδα· οὕτως ἐκάλουν τὸ ἁρμόζον, μεταφέροντες ἀπὸ τῶν συμμέτρων τοῖς ποσὶν ὑποδημάτων.* Pollux 7, 84 *περὶ πόδα δὲ ὑποδήματα τὰ ἁρμόζοντα.* cf. fr. 197. Athenion. 39.

130

ὥστ᾽ εἴ τις ὀρχοῖτ᾽ εὖ, θέαμ᾽ ἦν· νῦν δὲ δρῶσιν οὐδέν,
ἀλλ᾽ ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται.

Athenaeus 14, 628e *εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιίαν καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ᾽ ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων φησίν, εἴρηκεν οὕτως κτλ. ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπὲς καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμουμένων* (sic enim A). *ὀρχοῖτ᾽*] *ὀρχοῖθ᾽* A. optativus est iterativus qui dicitur, quod moneo propter Bergkium et Cobetum Obs. crit. 51.

131

ἀναβιῶν᾽ ἐκ τῆς νόσου

Moeris *ἀναβιῶναι· Ἀττικοί, ὡς Πλάτων Σκευαῖς ἀναβιῶν ἐκ τῆς νόσου. ἀναβιῶσαι κοινόν.* ita Meinekius. grammaticus Marcianus apud Bekker. Harpocr. p. 35 *ἀναβιὼν ἀντὶ τοῦ ἀναβιώσας. Πλάτων Σκευαῖς ἀναβιὼν ἐκ τῆς νόσου, καὶ Ἀριστοφάνης.* cf. Aristoph. fr. 742.

132

Schol. Aristoph. Av. 151 *Πλάτων δὲ αὐτὸν* (*Μελάνθιον*) *ἐν Σκευαῖς ὡς λάλον σκώπτει. Σκευαῖς* Pierson. Moer. 122] *Σκύθαις.*

133

Schol. Aristoph. Ran. 367 *τοῦτο εἰς Ἀρχῖνον. μήποτε δὲ καὶ εἰς Ἀγύρριον. μέμνηται δὲ τούτων καὶ Πλάτων ἐν Σκευαῖς καὶ Σαννυρίων ἐν Δανάῃ. οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης τὸν μισθὸν τῶν κωμῳδῶν ἐμείωσαν κωμῳδηθέντες.* verbis *τῆς δημοσίας τραπέζης* aerarium publicum significari docuit Fritzschius Ran. p. 194. de mercede comicorum ab Agyrrhio inminuta cf. Ran. 367 et Cobet. Obs. crit. 48. 9.

ΣΟΦΙΣΤΑΙ

Fortasse similis fuit Eupolidis Adulatorum. certe sophistarum nomen latius accipiendum videtur. cf. fr. 140 et Cratin. 2. actam esse post Ol. 92, 2 Cobetus Obs. crit. 186 conligit ex fr. 141.

134

Ξενοκλῆς ὁ δωδεκαμήχανος,
ὁ Καρκίνου παῖς τοῦ θαλαττίου

Schol. Aristoph. Pac. 792 *Ξενοκλῆς ὁ Καρκίνου δοκεῖ μηχανὰς*

καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασιν. Πλάτων Σοφισταῖς κτλ. Suidas Καρκίνος· Ξενοκλῆς ὁ Καρκίνου, ὃν Πλάτων δωδεκαμήχανόν φησιν. Xenoclem igitur eodem adpellavit cognomine, quo tum Athenis Cyrene meretrix insignis erat. Aristoph. Ran. 1328. alterum versum Cobetus Obs. crit. 185. N. l. 10. 11 conl. Strattid. 15 et Eurip. fr. 878 N. explet adiecto in fine θεοῦ. carcinus ipse est monstrum marinum: a nomine igitur iocum petivit, ut Aristot. Rhet. 2, 23 ὦ Πῶλε, ἀεὶ σὺ πῶλος εἶ al. praeterea ad ceterorum comicorum normam necessario Ξ ε ν ο κ λ έ η ς scribendum est. cf. quae adnotavimus ad Aristoph. Eq. 283. fortasse Plato

καὶ Ξενοκλέης παρῆν ὁ δωδεκαμήχανος κτλ.

135

τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος

Schol. Aristoph. Av. 299 et omisso fabulae nomine Suidas Σποργίλος· μνημονεύει αὐτοῦ (Σποργίλου) Πλάτων ἐν Σοφισταῖς κτλ. τέγος] στέγος V. parodia est Euripidis fr. 727 N. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον τέκος. cf. Aristoph. Pac. 528 et Herwerd. Obs. crit. 32.

136

καὶ γὰρ Προμηθεύς ἐστιν ἀνθρώποις ὁ νοῦς.

Syncellus Chronogr. I 282 Dind. Προμηθεύς . . . ἐμυθεύετο πλάττειν ἀνθρώπους ἐξ ἀπαιδευσίας καὶ ἀλογίας εἰς παίδευσιν μετάγων, ὥς φησιν ὁ Πλάτων, ὁ τὴν παλαιὰν κωμῳδίαν, ἐν Σοφισταῖς κτλ. Schol. Voss. ined. Aeschyl. Prom. 114 apud Cobetum Observ. crit. 190 καὶ Πλάτων ἐν τῇ παλαιᾷ κωμῳδίᾳ φησὶν ἐν Σοφισταῖς κτλ. καὶ γὰρ Προμηθεύς K.] Προμήθεια γάρ Syncell. Προμηθεὺς γάρ Schol. Aesch. προμηθία γάρ Dindorf. ὁ γὰρ Προμηθεύς Meinekius conl. Anal. Alexandr. 99. non recte: nam Προμηθεύς praedicatum est: '*instar Promethei enim homini mens est*'. Protagorae de Prometheo fabulam, qualis est apud Platonem philosophum, quodammodo significari sententia est Meinekii. cf. Cobet. Obs. crit. 190.

137

κἂν ᾖ γαλεός, κἂν λειόβατος, κἂν ἔγχελυς.

Athenaeus 7, 312b λειόβατος· οὗτος καλεῖται καὶ ῥίνη. ἔστι δὲ λευκόσαρκος, ὡς Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ. Πλάτων Σοφισταῖς κτλ. Photius λειόβατος· ἰχθύος εἶδος. ἔστι δὲ ὅμοιον ν ά ρ κ ῃ.

138

ἐν τρισὶν
πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος.

Eustathius 1043, 32 *Παυσανίας δὲ παράγει καὶ χρήσεις (τοῦ ἠδέσθην) τοιαύτας. Πλάτων Σοφιστῇ κτλ.* Bekker. Anecd. 424, 24 *ἀπηδέσθη· ἀπεβρώθη.* dubito de praepositione *ἐν* et de prosodia: siquidem apud comicos certe vocalis brevis ante vocem a *ρ* incipientem semper producitur. fortasse igitur post *ἀπηδέσθη* vel syllaba vel verbum excidit.

139

Schol. Aristoph. Vesp. 157 *Δρακοντίδης· πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς.* ad eum Cobetus Obs. crit. 186 pertinere censet Plat. Reip. 8, 558 a *οὔτε φροντίζοντος οὔτε ὁρῶντος οὐδενὸς περινοστεῖ ὥσπερ ἥρως.*

140

Schol. Aristoph. Nub. 331 et Suidas *σοφιστής· Πλάτων γὰρ οὖν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν* (*ποιητὴν* Suid.) *Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν.* diversus est a poeta lyrico Bacchylide.

141

Harpocratio 28, 3 *Ἀπόληξις εἷς τῶν ι' συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφιστῇ. συγγραφεῖς* sunt 'decemviri constituendae reipublicae Ol. 92, 2 auctore Pisandro creati. Thucyd. 8, 67. cf. Bekker. Anecd. 301, 13.' Cobet. Obs. crit. 186. *Apolexis* autem postea Antiphontem Rhamnusium, quem in quadringentorum imperio constituendo adiuverat, capitis accusavit. Harpocrat. *στασιώτης.* Cobet. 187.

142

ὀθόνινον πρόσωπον

Pollux 10, 167 *τῶν σκευῶν ἐστι καὶ προσωπεῖον . . . καὶ προσωπὶς καὶ ὡς ἐν τοῖς Σοφισταῖς Πλάτων ὀθ. πρ. ὀθόνινον* Hoeschelius] *ὠθόνιον.* Bekkerus *ὀθόνιον. πρόσωπον* idem quod *προσωπεῖον.*

143

ἀπαρτί

ἀντὶ τοῦ ἄρτι ἀπὸ νῦν. Πλάτων Σοφισταῖς. Bekker. Anecd. 79, 30.

144

δεδειπνάναι

Πλάτων Σοφισταῖς. Athenaeus 10, 422 f. Bekker. Anecd. 89, 26 *δεδειπνάναι· Πλάτων Σοφισταῖς.* cf. Hermipp. 60.

145

κέρκους

τὰς οὐρὰς οὐκ οἴονται δεῖν λέγειν. ἐπιχωριάζει δὲ κατὰ τὴν Ἀσίαν, βάρβαρον μέντοι νομίζεται. Πλάτων Σοφισταῖς. Bekker. Anecd. 103, 6. apud comicos quidem poetas ea vox septiens vel octiens reperitur.

146

λυχνίας

(λίθος) παρὰ Πλάτωνι ἐν τοῖς Σοφισταῖς. Pollux 7, 100.

147

πλαίσιον

εἶδος μέτρου, ἢ ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις, ὡς Πλάτων ἐν Σοφιστῇ. Zonaras 1555. cf. Aristoph. Ran. 800.

Ad Sophistas praeterea fr. 191 incerta sane coniectura refert Cobetus Obs. crit. 188.

ΣΥΜΜΑΧΙΑ

Symmachiam Platonis Cantharique eandem fuisse, a Platone Cantharo venditam, opinio est Meinekii (I 163. 185. 251), inpugnata a Cobeto Obs. crit. 178. nomen fabulae repetitur ab illa societate, quam Nicias, Alcibiades, Phaeax (quamquam hunc eximit Cobetus) inierant ad Hyperbolum ostracismo eiciendum. Bergk. R. c. Att. 261. 312. Cobet. Obs. crit. 143. actam esse arbitrantur Bergkius non multo post Ol. 91, 1, Cobetus anno tertio fere ante. cf. Plut. Nic. 11. Alcibiad. 13. Aristid. 7. sed universam hanc opinionem admodum incertam esse cognoscitur ex eis quae adnotavi ad fr. 153.

148

ὠτογλυφίδα λαβοῦσ' ἀνασκαλεύεται.

Pollux 2, 83 ὠτογλυφὶς δὲ εἴρηται παρὰ Πλάτωνι τῷ κωμικῷ ἐν Συμμαχίᾳ σὺν ἐλαίῳ ὠτογλυφίδα κτλ. σὺν ἐλαίῳ] καὶ ἐν Λαΐῳ Cobetus Obs. crit. 126. pro dittographia nominis Συμμαχίᾳ habet Meinekius. ἀνασκαλεύεται Meinek.] ἀνασκάλλεται. si vera est Cobeti coniectura, nihil nisi ὠτογλυφίς est Symmachiae, cetera verba ad Laium transferenda sunt.

149

τὸ γὰρ ἕψημά σου
γενόμενος ἔλαθον ἐκροφήσας.

Pollux 6, 17 τὸ νῦν ἕψημα ὀνομαζόμενον, ὅπερ ἐστὶν οἶνος ἡψη-

μένος εἰς γλυκύτητα. καὶ τοῦτ' ἂν εἴη τὸ εἰρημένον ἐν τῇ τοῦ Πλάτωνος τοῦ κωμικοῦ Συμμαχίᾳ κτλ. non credo Meinekio hunc versum censenti figurate accipiendum esse '*quod tu intrivisti, ego exedi*'. cf. Phrynich. 65.

150

νάρκη γὰρ ἑφθὴ βρῶμα χάριεν γίγνεται.

Athenaeus 7, 314 a *Πλάτων ἢ Κάνθαρος ἐν Συμμαχίᾳ κτλ.* absunt haec a cod. B. *ἑφθὴ* Bentl. Menandr. p. 69 (498 ed. Meinek.)] *ἔφη. γὰρ ἑφθὴ* om. C.

151

βατίς τε καὶ σμύραινα πρόσεστι.

Athenaeus 7, 312 c *Πλάτων δὲ ἢ Κάνθαρος ἐν Συμμαχίᾳ σὺν τῷ σ (σμύραινα) κτλ. πρόσεστι] προσέτι* Meinek. Anal. crit. 138. possunt etiam tetrametrorum reliquiae esse *βατίς τε καὶ σμύραινα | πρόσεστιν.*

152

ἐγὼ γὰρ ὑμῖν ἣν φράσω

Priscianus 18, 170 *abundat enim γάρ. Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ οὕτως ἤρξατο κτλ. ἣν] νῦν* (MO)*α.*

153

εἴξασιν γὰρ τοῖς παιδαρίοις τούτοις, οἳ ἑκάστοτε γραμμὴν
ἐν ταῖσιν ὁδοῖς διαγράψαντες διανειμάμενοι δίχ' ἑαυτοὺς
ἑστᾶσ' αὐτῶν οἱ μὲν ἐκεῖθεν τῆς γραμμῆς, οἱ δ' αὖ ἐκεῖθεν
εἷς δ' ἀμφοτέρων ὄστρακον αὐτοῖς ἀνίησιν εἰς μέσον ἑστώς,
κἂν μὲν πίπτῃσι τὰ λευκ' ἐπάνω, φεύγειν ταχὺ τοὺς ἑτέρους δεῖ,
τοὺς δὲ διώκειν.

Hermias Platon. Phaedr. p. 90 Ast. Schol. Plat. p. 314 Bekker. *τοῦτο δέ ἐστιν ἐκεῖνο, ὃ κατὰ τὴν ὀστρακίνδα καλουμένην παιδιὰν γινόμενόν ἐστιν, ἣν Πλάτων ὁ κωμικὸς ἐν τῇ Συμμαχίᾳ σαφῶς συνίστησι διὰ τούτων κτλ.* Eustathius 1161, 42 *χρῆσις τῆς λέξεως ἐν τῇ κωμῳδίᾳ πρὸς αἴνιγμα τοῦ ῥηθέντος ἐξοστρακισμοῦ. Πλάτων δέ, φασίν, ὁ κωμικὸς φράζει αὐτὴν οὕτως κτλ.* cf. Schol. Plat. 315. (R. Foerster. Mus. Rh. XXX 288). Sueton. Milleri (Mélanges 436) *παροιμία ὀστράκου περιστροφή, ἐπὶ τῶν ἀθρόον μεταβαλλομένων, ἐκ μεταφορᾶς παιδιᾶς τοιᾶσδε· παῖδες δίχα διῃρημένοι γραμμῆς μέσον κεχαραγμένης ὄστρακον ἐδίδουν ἐνί, ἐν ἑτέρῳ μέρει πεπισσωμένον, ὅπερ ἀναρρίπτων ὁ παῖς ἐπέλεγε νὺξ ἢ ἡμέρα· καὶ εἰ τὸ πεπισσωμένον ἄνω συνέβη πεσεῖν, ἔφευγον οἱ τοῦτο τὸ μέρος*

ἔχοντες, οἱ δ' ἕτεροι ἐδίωκον· διώριστο δὲ τοῖς παίζουσιν, ὧν ἔδει εἶναι τὸ πεπισσωμένον, ἐποστρακισμὸς τῷ προΐεσθαι κατὰ τῆς ἐπιφανείας τοῦ ὑγροῦ ὀστράκια πλατέα ὑπὸ θαλάττης ἐκτετριμμένα· ἅπερ ἐνίοτε πολλάκις ἀφαλλόμενα ἡδίστην ποιεῖ[ται] τὴν πρόσοψιν. ludum qui ἐποστρακισμός dicitur similiter describit Pollux 9, 119 et ab eo qui ὀστράκου περιστροφή vocabatur discernit 9, 111. 112. ille quomodo cohaerere possit cum eo quem Plato commemorat ludo, ego quidem non exputo; unum intellego etiam apud Eustathium pro ἐξοστρακισμοῦ scribendum esse ἐποστρακισμοῦ neque ullo modo de ostracismo hic cogitari posse. accedit quod συμμαχία vix potest vocari principum societas ad evertendum aemulum. itaque Platonis fabula, argumento fortasse similis Lysistratae Aristophaneae, amicitiam concordiamque Graecorum videtur suasisse.

1. γὰρ Hermias Bekk.] δέ Ast, om. Eustath. 4. αὐτοῖς om. Hermias. Eustathius αὐτοῖσιν ἀνίησιν εἰς μέσον ἑστώς. Meinekius εἰς μέσον ἑστὼς ἀνίησιν. scribendum videtur αὐτοῖς ἐπανίησ' εἰς μ. ἑστώς. 5. πίπτησι Eustath.] πίπτῃ Hermias. πίπτῃσι quod admitti posse negat Cobetus Obs. crit. 176, fallitur. cf. Cratin. 95. 100. 126. 137.

154

ἢ 'ξ Ἀρκαδίας οὕτω δριμυτάτην ὀρίγανον

Athenaeus 2, 68b et Eustath. 1148, 26 θηλυκῶς (τὴν ὀρίγανον λέγει) Πλάτων ἢ Κάνθαρος κτλ. ἢ 'ξ] ἐξ Eustath. οὕτω] τοι Porson. οὕτω post Κάνθαρον transponendum numerosque choriambicos esse statuit Meinekius. fortasse legendum οὐ δρ. ὀρίγανον; ad Symmachiam, quia utrum Platonis an Canthari sit ambigitur, rettulit Porsonus.

155

αὐλητρίδα πεζήν

Photius πεζὰς μόσχους· ἀντί τοῦ ἑταίρας . . . τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ αὐλ. π. cf. Eupol. 169.

156

κεναγγίαν

τὴν πεῖναν. Πλάτων Συμμαχίᾳ. Bekker. Anecd. 104, 8. Pollux 6, 31 Πλάτων δὲ ὁ κωμικὸς καὶ κεναγγίαν εἴρηκε.

157

ὀρνιθευτής

ὁ ὀρνιθοθήρας . . . Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ. Harpocratio 139, 17. Aristoph. Av. 526.

158

παραθήκην

Πλάτων Συμμαχίᾳ. Photius. eadem videtur esse quae vulgo dicebatur *παρακαταθήκη.*

159

πορνοβοσκῆσαι

ἐν τῇ Πλάτωνος Συμμαχίᾳ. Pollux 7, 202.

ΣΥΡΦΑΞ

Neque de argumento neque de tempore constat. qui enim fr. 160 commemoratur Mynniscus Chalcidensis, potest sane esse histrio Aeschyli (Meinek. I 186); potest vero etiam nepos eius significari.

160

Α. ὁδὶ μὲν Ἀναγυράσιος ὀρφώς ἐστί σοι.
Β. οἶδ', ᾧ φίλος Μυννίσκος ἔσθ' ὁ Χαλκιδεύς.
Α. καλῶς λέγεις.

Athenaeus 8, 344 d *Μυννίσκος ὁ τραγικὸς ὑποκριτὴς κωμῳδεῖται ὑπὸ Πλάτωνος ἐν Σύρφακι ὡς ὀψοφάγος οὕτως κτλ.* 2. *οἶδ' ᾧ* Fritzschius Progr. Neobrand. 1857 p. 20] *θ' οὔθ' ὡς* A. *Μυννίσκος* Keil. Anal. epigr. 210] *μύννικος* A. *Μυνίσκος* vulgo. *ἔσθ'* Blomfield. Aesch. Pers. VIII] *ἔσοθ'* A. Aristot. Poet. 26 *ὡς λίαν γὰρ ὑπερβάλλοντα πίθηκον ὁ Μυννίσκος τὸν Καλλιππίδην* (Aristoph. fr. 474) *ἐκάλει.* Vit. Aeschyl. *ἐχρήσατο δὲ ὑποκριτῇ πρῶτον μὲν Κλεάνδρῳ, ἔπειτα δὲ . . . προσῆψε Μυννίσκον.*

161

νοεῖ μὲν ἕτερ', ἕτερα δὲ τῇ γλώττῃ λέγει.

Schol. Aristoph. Av. 168 et Suidas *Τελέας· Πλάτων Σύρφακι ἐπὶ τοῦ Τελέου κτλ. λέγει*] *φθέγγεται* Suid. Toupius contulit Hom. Il. 9, 313 *ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.*

162

δότω τις ἡμῖν μαζονομεῖον ἔνδοθεν.

Etym. m. Milleri (Mélanges 209) *μαζονομεῖον· Πλάτων Σύρφακι· δότω κτλ. δηλοῖ δὲ ἀγγεῖον. Σύρφακι· δότω* Miller.] *συρφακιδωτὸν. μαζονομεῖον* Aristoph. fr. 417.

163

καὶ πίεσθ' ὕδωρ πολύ.

Athenaeus 10, 446 e *ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ῑ* (in *πίομαι*), *ὡς Πλάτων . . . ἐν Σύρφακι κτλ.* cf. fr. 9. fortasse a voce *πολύ* alter versus incohandus est.

164

σὲ μέν, ὦ μοχθηρέ, παλινδορίαν παίσας αὐτοῦ καταθήσω.

Hesychius *παλινδορία· τὸ σκῦτος. Πλάτων Σύρφακι κτλ.* sic ut scripsimus Porson. Hecub. praef. LXIV (LVII). cod. *συρφακίσαι μνωμοχθῆραι παλινδορία.* Pollux 6, 164 *παλίμπηγα οἱ κωμικοὶ τὰ παλαιὰ καττύματα, καὶ παλινδορίαν.* Photius *παλινδορία· σκῦτος.* Cramer. Anecd. Ox. II 126, 6 *παλινδόριον· τὸ εἰργασμένον δέρμα.* '*παλινδορία* est corium solito crassius et durius, quod calceis usu detritis suppingitur'. Porsonus. videtur dominus servo minari.

165

Harpocratio *κατάστασις . . . ἔοικεν ἀργύριον εἶναι, ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει . . . ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος.* cf. Eupol. 268.

ΥΠΕΡΒΟΛΟΣ

Scripta est in Hyperbolum, ut Maricas Eupolidis et *Ἀρτοπώλιδες* Hermippi. cf. Aristoph. Eq. 1304. Nub. 551 sq. Meinek. I 188—195. Bergk. R. c. Att. 312. 3. actam esse Ol. 91, 2 statuit Meinekius, rectius Ol. 90, 1 vel 2 Cobetus Obs. crit. 144. cf. etiam Kirchhoff. Herm. I 5.

166. 167

εὐτυχεῖς, ὦ δέσποτα.
Β. τί δ' ἔστι; Α. βουλεύειν ὀλίγου 'λαχες πάνυ.
ἀτὰρ οὐ λαχὼν ὅμως ἔλαχες, ἢν νοῦν ἔχῃς.
Β. πῶς ἢν ἔχω νοῦν; Α. ὅτι πονηρῷ καὶ ξένῳ
ἐπέλαχες ἀνδρί, οὐδέπω γὰρ ἐλευθέρῳ.
* * * *
Β. ἄπερρ'· ἐγὼ δ' ὑμῖν τὸ πρᾶγμα δὴ φράσω·
Ὑπερβόλῳ βουλῆς γάρ, ἄνδρες, ἐπέλαχον.

Schol. Aristoph. Thesmoph. 808 *οὐκ ἔστι σαφές. ἀλλ' οὐδὲ παρὰ Πλάτωνι ἐν Ὑπερβόλῳ· λέγει γάρ τι περὶ τοῦ ἐπιλαγχάνειν τοῖς βουλευταῖς· εὐτυχεῖς — ἐλευθέρῳ. καὶ ἐν ταὐτῷ· ἄπερρε κτλ.* 3. *ἀτὰρ οὐ* Hanov. Exercit. crit. 93] *ἄγαρον* 'habere videtur' R. Duebn. *Β. ἀτὰρ οὐκ ἔλαχον. Α. ὅμως κτλ.* Bergk. R. c. Att. 312. 4. *πῶς* Bekker.] *πῶς οὖν* R. 6. *δὴ* Bekker.] *μὴ* R. Harpocrat.

81, 6 *ἐπιλαχών . . . ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.* Bekker. Anecd. 256, 3 *ἐπιλαχών· εἴ τις ἀποδοκιμασθείη ὡς ἀνεπιτήδειος, ἄλλος ἀντὶ τούτου ἐπιλαχὼν αὐτὸς ἦρχεν.* in v. 7 *βουλῆς* pendet ab *ἐπέλαχον.* Meier. Allg. Litzeit. 1836 p. 366. Fritzsch. Act. societ. gr. I 139. conloquitur in prologo ut videtur erus a sortitione senatus domum reversus cum servo. exposuerat erus se in sortiendo infelicem fuisse: non electum, sed substitutum. quem servus Euripideae ut videtur subtilitatis non inperitus consolatur: 'non infelix fuisti, sed felix. nam non multum abest quin sortitus sis: quamquam enim non sortitus es, tamen sortitus es', si recte rem intellegis': quibus verbis suadere videtur domino ut in *δοκιμασίᾳ* Hyperbolum inpugnet: fore enim ut is utpote peregrinus et non liber reiciatur. at erus, talium machinarum contemptor, abire servum iubet et spectatoribus rem quomodo facta sit exponit. aliter Cobetus Obs. crit. 136. 7. v. 5 nondum videtur persanatus esse. *κοὐδέπω γ' ἐλευθέρῳ* Hanovius. *κοὐδαμῶς γ' ἐλευθέρῳ* Bergk. *κοὐ καθαρῶς ἐλευθέρῳ* Cobetus Mnem. V 203 conl. Lucian. Tim. 52. fortasse scripsit *π ρ ὸ ς δ' ἔ τ ι κ ἀ ν ε λ ε υ θ έ ρ ῳ.* Andocid. fr. 4 (p. 166 ed. Turic.) *περὶ Ὑπερβόλου λέγειν αἰσχύνομαι· οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ, αὐτὸς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνοποιεῖ,* quem locum interpretatus est Kirchhoff. Herm. I 4 sq.

168

ὁ δ' οὐ γὰρ ἠττίκιζεν, ὦ Μοῖραι φίλαι,
ἀλλ' ὁπότε μὲν χρείη 'διῃτώμην' λέγειν,
ἔφασκε 'δῃτώμην', ὁπότε δ' εἰπεῖν δέοι
Athenaeus 14, 621f ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων κτλ. partem ex Athenaeo excerpsit Eustathius 1818, 2. Photius ὀπισθοτείλαν· τὴν σηπίαν οἱ Βοιώτιοι· ὄπισθεν ἀποτιλῶσαν. Hesychius ὀπισθοτίλα· σηπία. idem κριδδέμεν· γελᾶν. Βοιωτία δὲ ἡ λέξις. 2. ἄλλ'] ἄλλο A. 3. ὀπιτθοτίλαν] ὀπισθοτίλαν Eustath. et C Athen. inter lineas. at ὀπιτθοτίλα vera Boeotorum forma est. Ahrens De dial. I 177. cf. ἴττω, ἐπιχαρίττως Aristoph. Ach. 833. λέγουσ' Dindorf.] λέγουσιν. 4. quae in codicibus traduntur metro adversantur. τὸν ἰατρὸν δὲ] ἰατρόν γε μὴν Maltby Morell. Lex. prosod. 574. ὀρταλιδέα, τὸν ἰατρὸν αὖ Lobeck. ὀρτάλιχον, ἰατρὸν δὲ δὴ vel ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δὴ Meinek. 5. βέφυραν Meinek.] βλέφυραν δὲ. 7. δὲ κριδδέμεν Valcken. Epist. Roever. LXXVI] δὲ ἐκκριδαίωμεν A. 8. νεοκάττυτον ᾖ Schweighaeus.] νεοκαττυτόνη A.

2. οὐδέν ποτ' ἄλλο '*nihil aliud*, h. e. *ita res est*. Theopomp. 32, 4.' Meinek. 5. σάκταν *saginatorem* interpretatur Eustathius (φορτωτὴς παρὰ τὸ σάττω). βέφυραν non commemorari miror ab Ahrensio De dial. I 172. 8. cum νεασπάτωτον facile conferas quae Lobeckius Phryn. 661 attulit. quod vero Athenaeus poetam

opinatur Thebanis novandi in his rebus studium exprobrare, recte refellit Lobeckius Aglaoph. 849, 'antiquum et oppidanum dicendi morem' eos potius retinuisse monens.

48

οὐ σχοινί', οὐδὲ στραγγαλίδες εἰσί.

Pollux 10, 183 *δεσμῷ δ' ἂν ἐοίκοιεν αἱ στραγγαλίδες, Στράττιδος ἐν Φοινίσσαις εἰπόντος. οὐ* Meinek.] *οὐδὲ.*

49

Erotianus 93, 8 Klein. *λεβηρίδος· ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* cf. Aristoph. fr. 35. sine dubio etiam Strattis uno ex proverbiis illis usus erat.

50

Athenaeus 15, 699 ef *γράβιόν ἐστι τὸ πρίνινον ἢ δρύινον ξύλον, ὅπερ ἐθλασμένον (τεθλ.) καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσιν . . . μνημονεύει δὲ γραβίων κο . . . ἐν Φοινίσσαις.* Schweighaeuserus *καὶ Στράττις ἐν Φοινίσσαις.* at Phoenissas etiam Aristophanis fuisse monet Meinekius. Hesych. *γοβρίαι· φανοί, λαμπτῆρες,* ubi *γράβια* L. Dindorf.

ΧΡΥΣΙΠΠΟΣ

Meinek. I 233. puerorum amores Laii et Chrysippi exemplis videtur exagitavisse. cf. Preller. Mythol.² II 343. 7.

51

εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσωτεῖον τραπέσθαι, μηδ' ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

Athenaeus 4, 169 a *τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως κτλ.* 2. *ἀσωτεῖον* Meinek.] *ἀσώτιον. μηδ' ἐὰν* Dindorf.] *μηδ' ἂν* BP. 3. *μηδενί*] *μηδὲ ἕν* Meinek. Anal. crit. Ath. 80. v. 1 pro *μηδὲ* scribendum videtur *μή.* Hesych. *Ἀσώπιον· τόπος Ἀθήνησι.* videtur adulescentis nescio cuius sors deplorari, a severo patre educati.

52

πρόσαγε τὸν πῶλον ἀτρέμα, προσλαβὼν
τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι
ἄβολος ἔτ' ἐστί;

Pollux 10, 55 *Στράττις ἐν Χρυσίππῳ λέγει κτλ.* Bekker. Anecd. 22, 21 *Στράττις δὲ τὸν ἵππον ἱμάντα, ᾧ ἐφέλκεται καὶ ἐπάγεται, ἀγωγέα λέγει.* 3. *ἔτ'* add. Meinekius, ac iam Bentleius, aliter neque tamen melius versibus dispositis, in Epist. Hemsterh. 54. — *ἄβολος*, ut Sophocl. fr. 377 N. Plat. Leg. 8, 834c *μονίπποις ἆθλα τιθέντες πώλοις τε ἀβόλοις*, ubi Schol. *ἄβολος· νέος, οὐδέπω γνώμονα ἔχων. γνώμονα δ' ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον.*

53

κοχῶναι

μέμνηται καὶ Στράττις ἐν Χρυσίππῳ. Daremberg. Notices et extr. 215. Erotian. 20, 9 Klein.

Praeterea cf. Lysipp. 9.

ΨΥΧΑΣΤΑΙ

Homines frigus captantes significari iam Casaubonus monuit. Meinek. I 235. Photius et Bekker. Anecd. 317, 19 *ψυχάζουσι· πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν. ἔστι δὲ ὅμοιον τὸ χειμάζειν.* Athenaeus 11, 503c *Νίκανδρος . . καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι.* 'nescio an homines quosdam voluptuosos perstrinxerit in locis amoenis otiari et luxuriari solitos.' Lobeck. Aglaoph. 1038.

54

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν

Athenaeus 12, 551c *περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησι κτλ.* cum Athenaeus *gracilitatem* Sannyrionis exemplis inlustret, non credo Bergkio R. c. Att. 271 Sannyrionem quod obscaenum illud spectaculum, de quo Aristoph. Nub. 538. 9, spectatoribus exhibuerit inrideri, sed cum Dalecampio illum lorica nescio qua, ut corpus plenius videretur, usum esse existimo. Aristophanes Lys. 110 *ὄλισβον* ita dixit.

55

κομίσειέ μοί τις
θυμαλώπων ὧδε μεστὴν ἐσχάραν;

Pollux 10, 101 *καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο* (*τὸν καλούμενον χυτρόποδα*) *κτλ. . . . ὁ δὲ Στράττις ἐν Ψυχασταῖς φησι κτλ. καὶ εἰσὶν οἱ θυμάλωπες οἱ ἡμίκαυτοι ἄνθρακες.* Elmsleius Aristoph. Ach. 321 *λιβανωτὸν ἔνδοθεν τίς ἂν κομίσειέ μοι | καὶ θυμαλώπων κτλ.* ceterum *ὧδε* est *huc.* cf. Aristoph. fr. 348.

56

(εἴτε) ῥιπίδα

εἴτε σκιάδειον

Pollux 10, 127 θολία πλέγμα τι θολοειδὲς ἐπὶ σκιᾷ, καὶ ῥιπίς, καὶ σκιάδιον, ὃ καὶ σκιάδα ἂν εἴποις· οὕτω γὰρ καὶ τὸ Διονύσου σκιάδιον καλεῖται. καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδιοποιοὶ καλοῦσι. ὁ δὲ Στράττις ἐν Ψυχασταῖς προειπὼν ῥιπίδα ἐπήγαγε εἴτε σκιάδιον. prius εἴτε add. K. unus ex refrigerationis amatoribus aut flabellum aut umbraculum adferri iubet. fallitur enim Pollux, cum ῥιπίδα et σκιάδειον idem esse dicit.

57

οἶνον γὰρ πιεῖν

οὐδ' ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὐναντίον

ψυχόμενον ἐν τῷ φρέατι καὶ χιόνι μεμιγμένον.

Athenaeus 3, 124d ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς κτλ. πολὺ τοὐναντίον] πᾶν τοὐναντίον Meinek. Anal. crit. 57. at cf. Plat. Apol. 39c. καὶ χιόνι Porson.] χιόνι.

58

αἱ δ' ἀλεκτρυόνες ἅπασαι

καὶ τὰ χοιρίδια τέθνηκε

καὶ τὰ μίκρ' ὀρνίθια.

Athenaeus 9, 373f τὸν δ' ἀλεκτρυόνα οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι . . . Στράττις Ψυχασταῖς κτλ. v. 1. 2 Eustathius 1479, 28.

59

ὁ δέ τις ψυκτῆρ', ὁ δέ τις κύαθον

χαλκοῦν κλέψας ἀπορῶν κεῖται,

κοτύλη δ' ἀνὰ χοίνικα μάττει.

Athenaeus 11, 502e Στράττις Ψυχασταῖς κτλ. 3. κοτύλη δ' B] κοτυλίδ'. κοτύλη δ' Dobraeus Advers. II 335 'prae inopia mensuram sui panis adeo contrahit, ut pro quaque choenice tantum cotylen ponat'. non intellego.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

60

γαλῆν ὁρῶ. *B.* ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν;

A. γαλῆν'. *B.* ἐγὼ δ' ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

Schol. Arist. Ran. 303 Ald. τοῦτον (Ἡγέλοχον) δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. καὶ Στράττις κτλ. Schol. Eurip. Orest. 279 ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ· Στράττις ἐν Ἀνθρωπορραίστῃ . . . καὶ ἐν ἄλλοις παίζων φησί κτλ. personarum notas add. Meinekius. cod. M schol. Eur. γαλήν' ὁρῶ· ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ. γαλήν' γαλῆν ἐγὼ δὲ ᾤμην σε γαλήν λέγειν ὁρῶ. cod. A γαλὴν ὁρῶ ποῖ πρὸς θεῶν ποῖ ποῖ χρῆ με παρᾶ θέλημα ποιεῖν γαλὴν γαλῆνα ἐγὼ δὲ ᾤμην σε γαλὴν λέγειν ὁρᾶς. B γαλῆν ὁρῶ ποῖ ποῖ πρὸς θεῶν. ποῖ ποῖ γαλῆν γαληνά. ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. I (om. γαλῆν ὁρῶ) ποῖ ποῖ γαλῆν ὁρῶ. ποὶ ποῖ πρὸς θεῶν, γαλῆν γαληνά, nihil amplius. Ald. Aristoph. ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλὴν γαληνά, ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ. difficillimum est dicere quid scripserit Strattis, inprimis propter Euripidis codicem A. v. 2 Dindorfius ἐγὼ δ' ᾤμην γαλῆν λέγειν σ' ὁρᾶν, qui est versus pessimus. ego ex cod. A haec elici posse puto *B.* ποῖ, πρὸς θεῶν, ποῖ ποῖ με χρὴ | παράγειν, ἐάν θέλῃ με καταπιεῖν γαλῆ; cf. fr. 1. Sannyrion. 8 et interpr. Ran. 303.

61

οἶνος κοχύζει τοῖς ὁδοιπόροις πιεῖν
μέλας Σκιάθιος ἴσον ἴσῳ κεκραμένος.

Athenaeus 1, 30f Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ κτλ. Eustathius 1770, 10 non adiecto poetae nomine. inepte autem interpretatur τὸ δὲ κοκκύζειν κωμικῶς ἀντὶ τοῦ ᾄδειν ἀπὸ τοῦ κόκκυγος. οἶνος] οἶνος δὲ Eust. κοχύζει Meinek.] κοκκύζει vel κοκκίζει. τοῖς ὁδοιπόροις πιεῖν] τοὺς ὁδοιπόρους ποιεῖ Eust. — infinitivum posuit ut Pherecr. 130, 5. κοχύζειν (i. e. κοχυδεῖν) Meinekius formatum putat a κόχυ (Hesych. κόχυ δ' ἔρρει), ut γρύζειν a γρῦ cet.

62

τί δ' ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι;

Pollux 3, 146 τὸ δὲ προεκπηδᾶν προανίστασθαι Στράττις εἶπε κτλ. τί δ' K.] τί ὅτι. Meinekius τί ποθ'. at alterum τι ex dittographia ortum est. stadii cursores ad signum datum celerrime exsiliunt, ne aemuli praecurrant.

63

τὰ θυγάτρια
περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα

Pollux 2, 173 τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλίσσειν λέγουσι, καὶ τὸ περιβάδην ἀμφιπλίξ . . . καὶ Στράττις κτλ., τουτέστι διηχότα (fort. περιηχότα) τὰ σκέλη. Hesych. περιπεπλιγμένα· περιπεπλεγμένα τοῖς σκέλεσιν. οἱ γὰρ ἀλεῖπται τὸ βῆμα πλίγμα λέγουσιν. idem περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ἀσχημόνως. cf. Cobet. Mnem. VIII 55—57 et quae adnotavimus ad Aristoph. fr. 198, 3.

64

Hesychius *κολεκάνοι· τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στράττις ἐν τῷ φορτικῷ δραματίῳ τοὺς τί οὐκ ἄξει τις ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κολέκαν λέγων.* idem *κολοκάνοι· εὐμήκεις καὶ λεπτοί.* et *κολεκάνοι* et *κολοκάνοι* ex *κολοκάνναβοι* corruptum esse existimat Meinekius. cf. Lobeck. Pathol. prol. 286. — *ποῦ στιν; οὐκ ἄξει τις ἔξω | τὴν ἀποῦσαν μητέρα | τῶν διδύμων κολοκαννάβων* Herwerdenus Stud. crit. 82, versibus trochaicis mirum in modum cum logaoedico coniunctis. videntur trimetri esse *ποῦ 'στιν; οὐκ ἄρα | ἄξει τις ἔξω τὴν ἄμουσον μητέρα | τὴν τῶν διδύμων κολοκανάβων.* sic enim scribendum esse arbitror. cf. Aristoph. fr. 699. Strattid. 20. ad Cinesiam refert Meinek. II 769.

65

Etymol. m. 803, 47 *φῴζειν σὺν τῷ ι σημαίνει τὸ καίεσθαι* (*καίειν* Toup.). *Στράττις ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν.* Zonaras 1838 *φῴζω τὸ καίω σὺν τῷ ι Στράττις· ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν.* Porsonus Append. Toupii Emend. 506 *ἀλλ' εἰ μέλλεις εὖ κἀνδρείως | φῴζειν ὡς μύστακα σαυτόν.* Reisigius coniect. 313 *ἀλλ' εἰ μέλλεις, εὖ κἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν.* cf. Aristoph. Eq. 379. Vesp. 153. 450. Meinekius *ἀλλ' εἰ μέλλεις ἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν.* vocis *μύσταξ α* corripitur Antiphan. 44, 4. cf. Bekker. Anecd. 108, 28 *μύστακα· βραχέως. Εὔβουλος Τιτθῇ.* quid vero haec significent *aliquem tamquam barbam urere*, cum praesertim barbam urere Graeci (praeter Dionysium) non consueverint, ego quidem nescio.

66

πρασοκουρίδες, αἳ καταφύλλους
ἀνὰ κήπους πεντήκοντα ποδῶν
ἴχνεσι βαίνετ', ἐφαπτόμεναι
ποδοῖν σατυριδίων μακροκέρκων,
χοροὺς ἑλίσσουσαι παρ' ὠκίμων
πέταλα καὶ θριδακινίδων
εὐόσμων τε σελίνων

Athenaeus 2, 69a *θριδακινίδας δ' εἴρηκε Στράττις κτλ. καταφύλλους* Valcken. Diatr. 231] *κατ' εὐφύλλους. σατυριδίων*] *σατυρίδων* B. ex interpolatione ortum videtur v. 4 *ποδοῖν*, post *ποδῶν* v. 2 molestissimum. v. 5 pro *παρ'* recte *κατ'* Herwerden. Mnem. nov. VI 59. in *θριδακινίδων* producendum *ι* primae syllabae, *α* corripiendum. Theophr. H. pl. 7, 5, 4 *θηρία δὲ γίνεται ταῖς μὲν ῥαφανίσι ψύλλαι, τῇ δὲ*

ῥαφάνῳ κάμπαι καὶ σκώληκες, καὶ ἐν τῇ θριδακίνῃ . . . αἱ πρασοκουρίδες. Hesych. πρασοκουρίς· ζῷον χλωρόν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα. Photius πρασοκουρεῖς· χλωροί. cf. Aelian. N. a. 9, 39. Pallad. R. r. 1, 35, 13. σατυρίδια satyriscos interpretatur Meinekius I 236, animalcula caudata in ed. mai., erucas ipsas Schneider. Aristot. H. an. III p. 349, similitudinem satyrorum referens 'ad cornu aliquod in postremo corpore erucae exstans', caudae simile. de *ocimo* cf. Fraas. Synops. plant. 183. videtur esse parodia cantici Euripidei, qualis est Aristoph. Ran. 1309 sq. etiam metrum simile est.

67

βοῦς ἐμβαίνει μέγας

Στράττις εἶπε παρὰ τὴν παροιμίαν τὴν 'βοῦς ἐπὶ γλώττῃ'. Hesych. ἐπεμβαίνει Meinek. — Hesych. βοῦς ἐπὶ γλώσσῃ· παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι. Aesch. Ag. 36 βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκεν.

68

Hesychius Κάλχας· Στράττις τὸν ποταμόν φησιν, ὅς ἐστι τῆς Χαλκίδος (τῆς Χαλκηδονίας vel Χαλκηδονίδος Meinekius). praeterea Meinekius Καλχηδών pro Κάλχας. Arrian. Eustath. Dionys. 803 ἐπώνυμός ἐστιν ἡ Χαλκηδονίων πόλις τῷ Κρόνου υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδών. Steph. Byz. Χαλκηδών· ἐκλήθη δὲ ἀπὸ Χάλκιδος (Χαλκηδόνος Meinek.) τοῦ παρακειμένου ποταμοῦ.

69

Schol. Eurip. Hec. 468 Dind. ὅτι δὲ κρόκινός ἐστι καὶ ὑακίνθινος (ὁ τῆς Ἀθηνᾶς πέπλος) καὶ τοὺς γίγαντας ἐμπεποίκιλται, δηλοῖ Στράττις. videtur pertinere ad Macedones. cf. fr. 30.

70

Zenob. 5, 35 ὁ σκνὶψ ἐν χώρᾳ· ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ παροιμία εἴρηται. σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, ἀπὸ τόπου εἰς τόπον μεταπηδῶν. μέμνηται ταύτης Στράττις. at Photius σκνὶψ ἐκ χώρας. 'volucre animal simile culici', 'tinea aut blatta'. Lobeck. Phryn. 398. 9. etiam σκνὶψ ἐν χώρᾳ recte dici poterat pèr ironiam, ut ἀδύνατον. quamquam ei qui in loco suo remanent proprie dicuntur ἔχειν κατὰ χώραν.

71

γαλῇ χιτώνιον

Zenobius 2, 93 ὁμοία ἡ παροιμία αὕτη τῇ 'οὐ πρέπει γαλῇ

κροκωτόν', ἐπειδὴ γαλῆ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυί. μέμνηται ταύτης Στράττις. cf. Diogenian. 3, 82. Plut. Proverb. 101. plenum fortasse erat οὐ πρέπει γαλῇ κροκωτόν, οὐ χιτώνιον γαλῇ.

72

ἀπεμυθήσω

ἀντὶ τοῦ ἀπελογήσω. Στράττις. Bekker. Anecd. 421, 14 et Suidas. Στράττις] κρατ: cod. Bekkeri. στράττης Eudemus.

73

γελάσιμον

Phryn. Ecl. 226 Στράττιν μέν φασι τὸν κωμῳδιοποιὸν εἰρηκέναι τοὔνομα, ἀλλ' ἡμεῖς οὐ τοῖς ἅπαξ εἰρημένοις προσέχομεν τὸν νοῦν, ἀλλὰ τοῖς πολλάκις κεχρημένοις· κέχρηται δὲ τὸ γελοῖον. cf. Lobeck. p. 227.

74

διατράμιν

Pollux 2, 184 καὶ λισπόπυγοι, ἐφ' ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται. τὴν δὲ ὧδε ἔχουσαν διατράμιν Στράττις ὠνόμασε. Hesych. διάτραμις· διερρωγὼς τὴν τράμιν, τὸν ἀπὸ ὀσχέου ἐπὶ τὰ ἰσχία τόπον. τράμις γὰρ τὰ ἰσχία. 'descripsisse videtur Strattis anum cui hiabat turpis inter aridas nates podex. Hor. Epod. 8, 5.' Meinek.

75

δυσόμοια

ἀνόμοια. Στράττις. Suidas.

76

Bekker. Anecd. 85, 8 ἐκβῆσαι δέ φασι δεῖν λέγειν καὶ καταβῆσαι, οὐκ ἐκβιβάσαι. Στράττις. 'post ἐκβιβάσαι supplendum videtur καὶ καταβιβάσαι.' Meinekius. utrum dixerit Strattis non adparet.

77

λελεπασμένον

πεπεμμένον. οὕτως Στράττις. Photius. Hesychius λελεπασμένον· εἰς πέψιν ἧκον. λελεπισμένον Pearson. Advers. II 468. λελεμμένον· λελεπισμένον Cobet. Mnem. VIII 30. at scribendum est λελοπασμένον· πεπεμμένον. scilicet λοπάζειν formatum est a λοπάς, ut ταγηνίζειν (τηγανίζειν) a τάγηνον (τήγανον).

78

ὁμοπτέρους

Στράττις τοὺς ὁμήλικας εἴρηκεν. Pollux 6, 156. cf. Aristoph. Av. 229. Eurip. El. 530.

79

ἡ προγονός

παρὰ Στράττιδι. Pollux 3, 27.

80

τρῶγες

θηρία τὰ ἐν τοῖς ὀσπρίοις. οὕτως Στράττις. Photius.

ΘΕΟΠΟΜΠΟΣ

Meinek. I 236—244.

ΑΔΜΗΤΟΣ

Provectum aetate poetam hanc fabulam scripsisse ex fr. 1 conligit Meinekius I 239; non ante Ol. 100 eam actam esse censet Bergkius R. c. Att. 407.

1

Athenaeus 15, 690 a *μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.* de *Perone* unguentario cf. Antiphan. 35. Anaxandr. Athen. 12, 553 d.

Ad Admetum praeterea fr. 75 refert Bergkius R. c. Att. 405.

ΑΛΘΑΙΑ

Tempus comoediae quodammodo definitur eo quod Telestes Selinuntius, poeta dithyrambicus (fr. 3), a Diodoro 14, 46 floruisse dicitur Ol. 95. Meinek. I 238. 9. de argumento cf. fr. 2.

2

τὴν οἰκίαν γὰρ εὗρον εἰσελθὼν ὅλην
κίστην γεγονυῖαν φαρμακοπώλου Μεγαρικοῦ.

Pollux 10, 180 *κίσται . . . καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο . . . ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ κτλ.* cf. Aristoph. fr. 28. 'Althaeae aedes dicere videtur magicis artibus Meleagri interitum aversurae. de pharmacopolis Megaricis aliunde nihil constat.' Meinek.

3

λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον
φιάλην· Τελέστης δ' ἄκατον ὠνόμαζέ νιν.

Athenaeus 11, 501 f *Θεόπομπος δ' ἐν Ἀλθαίᾳ ἔφη κτλ. ὡς τοῦ Τελέστου ἄκατον τὴν φιάλην εἰρηκότος.* Bekker. Anecd. 371, 5 *ἄκατος· φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτω Θεόπομπος. χρυσέαν* Pierson. Moer. 413] *χρυσέων. χρυσίων* Valcken. Herod. 3, 130. *Τελέστης* Casaub.] *τελεστὴς. ἄκατον* Porson. Eurip. Med. 140, XII p. 408 ed. Lips.] *ἄκρατον. ὠνόμαζέ νιν* Porson.] *ὠνόμαζεν ἵν'* A. tragici nescio cuius versus traduci formae *χρυσέαν* et *νιν* docent. *Telestae* Selinuntii (Diodor. 14, 46 extr.) fragmenta conlegit Bergkius in Poet. lyr. — risus ex eo captatur quod Telestes Althaeae sacrificio interfuisse dicitur: eam enim significari recte Meinekius monuit.

ΑΦΡΟΔΙΣΙΑ

Aphrodisia a meretricibus potissimum celebrabantur. Athenaeus 13, 574 b. 597 e. Plaut. Poen. 1, 1, 62. 2, 44. 3, 5, 13. 4, 3, 14. unde facilis est de argumento fabulae coniectura. Meinek. I 239. fortasse Corinthiarum Aphrodisia significari monet Bergkius R. c. Att. 339. 340. 396 sq.

4. 5

ὄνος μὲν ὀγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης.
ὄνῳ μιγείσης μητρὸς ἔβλαστεν πόλει.

Schol. Aristoph. Plut. 179 *κωμῳδεῖται δὲ (Φιλωνίδης) ὡς εὔπορος* (?) *καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος . . . Θεόπομπος Ἀφροδισίοις κτλ. ὀγκᾶθ'*] *ὠγκᾶθ'* Bergk. R. c. Att. 400. *Μελιτεὺς* Bentl.] *μελίτου* Ald. *ἔβλαστεν πόλει* Meinek.] *ἔβλαστε τῇ πόλει.* duo fragmenta esse statuit Meinekius, aut *ὄνῳ δὲ* aut *ὃς ὄνῳ* scribebat Bergkius. fortasse duo conloquuntur: tum scribendum *ὄνῳ γε.* de *Philonide* disputaverunt Hanovius Exercit. crit. 27. 34 et Bergkius R. c. Att. 400—405, asini nomen non tam ad magnitudinem quam ad oris corporisque turpitudinem referens. de syntaxi verborum *ὄνος ὀγκᾶται* cf. Cratin. 52.

6

ἀλλ' ἔντραγε
τὴν σηπίαν τηνδὶ λαβοῦσα καὶ τοδὶ
τὸ πουλυπόδειον.

Athenaeus 7, 324 b *Θεόπομπος Ἀφροδίτῃ κτλ. τηνδὶ λαβοῦσα* BC] *τὴν διαλαβοῦσαν* P. *πουλυπόδειον* Dindorf.] *πουλυπόδιον* A. cf. Bergk. R. c. Att. 396. non necesse est cum Meinekio de Amphidromiis cogitari.

ΒΑΤΤΛΗ

Schol. Aristoph. Plut. 1011 et Suidas *νιτάριον· τὰς μικρὰς δὲ θηλείας βατύλας ἔλεγον, καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. βατύλας* Suid.] *βατύλους*. frustra Hemsterhusius *βατάλας* et *Βατάλη*. quamquam in illo scholio multa sunt ambigua, de Batyle Theopompi non videtur dubitari posse. ceterum cf. Meinek. I 239. 40.

ΕΙΡΗΝΗ

Similis sine dubio fuit Aristophaneae. Meinek. I 240.

7

ἡμᾶς δ' ἀπαλλαχθέντας ἐπ' ἀγαθαῖς τύχαις
ὀβελισκολυχνίου καὶ ξιφομαχαίρας πικρᾶς.

Pollux 10, 118 *τὸ δὲ ὀβελισκολύχνιον στρατιωτικὸν μέντοι χρῆμα, εἴρηται δὲ ὑπὸ Θεοπόμπου τοῦ κωμικοῦ ἐν Εἰρήνῃ κτλ.* Athenaeus 15, 700e *καὶ τάχα τούτῳ (ξυλολυχνούχῳ) ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον.* Eustathius 1571, 22. Pollux 6, 103 *τὸ δὲ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον, τὸ μὲν σκεῦος ἦν στρατιωτικόν, τὸ δὲ ὄνομα ὑπομόχθηρον.* ut *ξιφομάχαιρα* gladius simul et culter est, sic *ὀβελισκολύχνιον* veru cum lychno coniunctum. aut protagonistam aut coryphaeum haec composita pace dixisse consentaneum est. ridicule in C. Th. Muelleri Fragm. hist. gr. haec ad rerum scriptorem referuntur I 329.

8

ὁ μὲν ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίγνεται.

Athenaeus 9, 368c *οἱ δὲ Ἀττικοὶ καὶ ἔμβαμμα λέγουσιν, ὡς Θεόπομπος ἐν Εἰρήνῃ κτλ.* *μὲν* Porson.] *μὲν γάρ.* Iacobs. Addit. Ath. 198 *ἄρτος* interpretis esse ratus *ὁ μὲν γὰρ ἡδύς*.

9

ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

Athenaeus 9, 374b *καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα λέγων οὕτως κτλ.* Schol. Aristoph. Nub. 663 *οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος.*

10

χλαῖναν δέ σοι
λαβὼν παχεῖαν ἐπιβαλῶ Λακωνικήν.

Pollux 10, 124 *τὴν χλαῖναν δὲ οὕτως ἐκάλουν οἱ τῆς κωμῳ-*

δίας ποιηταί, μόνα τὰ παχέα ἱμάτια ταύτης τῆς προσηγορίας ἀξιοῦντες, ὥσπερ καὶ Θεόπομπος ἐν Εἰρήνῃ κτλ. δὲ add. Bentleius.

11

μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι

Athenaeus 15, 652f *Θεόπομπος δ' Εἰρήνῃ τὰς Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως κτλ.* cf. Aristoph. Ran. 477. videtur ubique scribendum esse *Τειθράσιαι*. cf. Kirchhoff. I. A. 179. H. Roehl. Ind. C. I. p. 13.

12

μητρυιόν

τοῦτον (τὸν πατρῳὸν) . . . κέκληκε καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ. Pollux 3, 27. Photius *μητρυῖον* (sic)· *Θεόπομπος τὸν πατρῳόν (πατρυῖον).* Eustathius 560, 14 *καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρῳόν, ἀρρενωνυμοῦντες τὴν μητρυιάν, καὶ λέγει οὕτω Θεόπομπος.*

Praeterea ad Pacem fr. 65 rettulit Meinek. I 240, dubitans tamen ipse II 820.

ἩΔΥΧΑΡΗΣ

Tempus quodammodo definitur fr. 15 et 16. 'hominem deliciis . . . deditum, fortasse Platonem significare voluit.' Meinek. I 240. 289.

13

καὶ στῆτ' ἐφεξῆς κεστρέων νῆστις χορὸς
λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι.

Athenaeus 7, 308a *κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην κτλ. καὶ στῆτ'*] 'melius alii libri *ὦ στῆτ'*.' Casaub. — imperativum fortasse Athenaeus, ut suis poetae verba insereret, novavit; Theopompus scripsisse potest *ἔστη δ'*. cf. Aristoph. fr. 156. Plat. 29. Amips. 1. Archipp. 12. cestrei ieiuni metaphorice dicuntur qui ut anseres nihil nisi olus cenaverunt.

14

φέρε σὺ τὰ καταχύσματα
ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.
B. εὖ πάνυ λέγεις.

Schol. Aristoph. Plut. 768 et Suidas *καταχύσματα· ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο,* (inserenda sunt *μάλιστα δὲ τῆς νύμφης*) *καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας· ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει κτλ.* Photius 145, 10 *κατεχεῖτο δὲ (τὰ καταχύσματα) καὶ τῷ νυμ-*

φίῳ, φασίν, ὡς Θεόπομπος. cf. Harpocratio 108, 4 ὅτι τῶν νεωνήτων οἱ δεσπόται τραγήματα κατέχεον, Ἀριστοφάνης Πλούτῳ δηλοῖ. ὅτι δὲ καὶ τῶν ἀπὸ θεωρίας καὶ τῶν νυμφίων, [ὡς] Θεόπομπος Ἡδυχάρει. φέρε] φέρε δή Dobraeus, quod non necessarium est. τὰ om. Par. εὖ πάνυ λέγεις Dindorfius add. ex Θ et Suida. 'nisi ex Aristophanis v. 800 inlatum credere malis.'

15

ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησιν Πλάτων.

Diogenes Laert. 3, 26 *Θεόπομπος ἐν Ἡδυχάρει κτλ.* Hesychius Milesius p. 46. indicavit Meinekius significari Platonis Phaedonem 96e *οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὡς, ἐπειδὰν ἑνί τις προσθῇ ἕν, ἢ τὸ ἓν ᾧ προσετέθη δύο γέγονεν, ἢ τὸ προστεθὲν καὶ ᾧ προσετέθη διὰ τὴν πρόσθεσιν τοῦ ἑτέρου τῷ ἑτέρῳ δύο ἐγένετο.*

16

Athenaeus 15, 690a *μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.*

ΘΗΣΕΥΣ

Tempus quodammodo definitur fr. 18. Meinek. I 240.

17

ἴξει δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη.

Bekker. Anecd. 323, 29 *ἀβυρτάκη ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον, φημὶ ἐκ καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο. Θεόπομπος Θησεῖ κτλ.* Eustathius 1854, 18 *παρὰ Θεοπόμπῳ ἀβυρτάκη ὑπότριμμά τι δριμὺ βαρβαρικὸν διὰ πράσων καὶ καρδάμων καὶ κόκκων ῥόας καὶ ἑτέρων τοιούτων. φησὶ γοῦν κτλ.* cf. Suid. *ἀβυρτάκη. ἴξει* Bernhardy] *ἴξῃ* Bekk. An. *ἥξει* Eustath. *ἴξει* pro *ἀφίξει* dixit in manifesta tragicorum imitatione. ac sic *γαῖαν* pro *ἐς γῆν*. Theseum a populari aliquo homine patria expulsum Bergkius R. c. Att. 409, ex orco redeuntem ab Hercule quod iter sit instituendum doceri Dobraeus existimat Advers. II 318. mihi pro *πλείστων* necessario scribendum videtur *πλείστη*.

18

Plutarchus Mor. 839f *μνημονεύει δὲ (Ἰσαίου) Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.*

19

φαυλίων μήλων

μνημονεύει . . . καὶ Θεόπομπος ἐν Θησεῖ. Athenaeus 3, 82 c. cf Teleclid. 4.

20

αὐτόκακος

οἷον ἑαυτὸν κολάζων. Θεόπομπος Θησεῖ. Bekker. Anecd. 83, 6.

ΚΑΛΛΑΙΣΧΡΟΣ

Non significatur Critiae pater. Meinek. I 240. idemne sit ille Callaeschrus, qui inter quadringentos commemoratur Lys. 12, 66, et pro quo Lysias, contra quem Dinarchus orationes scripserunt, nescio. Theopompi Callaeschrus potest etiam nomen fictum esse in hominem specie pulchrum, mente turpem. cf. *Ἡδυχάρης*.

21

οὔ φησιν εἶναι τῶν ἑταιρῶν τὰς μέσας
στατηριαίας.

Pollux 9, 59 *τὰ δὲ στατῆρος ἄξια στατηριαῖα φαίης ἄν, ὡς Θεόπομπος ἐν Καλλαίσχρῳ. οὔ φησιν*] *οὔ φασιν* Meinek. 'quae de urbe dicta videntur, in qua meretrices magno pretio noctes vendebant, ut vel mediocres statera exigerent. Epicrat. 3, 16. 22.'

22

ἠρίσταμεν· δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Athenaeus 10, 423 a *καὶ ἠρίσταμεν δ' εἴρηκεν . . . Θεόπομπος Καλλαίσχρῳ κτλ.* cf. Hermipp. 60.

23

ἰχθύων δὲ δὴ
ὑπογάστρι', ὦ Δάματερ.

Athenaeus 7, 302 e *Θεόπομπος ἐν Καλλαίσχρῳ κτλ. παρατηρητέον ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δ' ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων.* 9, 399 d *ὑπογάστριον δὲ μόνον ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Θεόπομπος Καλλαίσχρῳ κτλ. ὑπογάστρι' ὦ*] *ὑπογαστριω* (sine accentu) A 399 d. *ὑπογάστριον ὦ* 302 e. *Δάματερ*] *Δήμητερ* B 302 e. *διαματερ* A 399 d. *ὦ Δάματερ* est admirantis exclamatio, *ὦ Δήμητερ* vocativus. Photius et Suidas *Ἡράκλεις· ἐπίφθεγμα θαυμαστικόν· ὥσπερ τὸ ὦ Δάματερ τοῦ ὦ Δήμητερ διαφέρει.* Eustath. 1385, 53 *τὸ ὦ Δάματερ τὸ θαυμαστόν* (*θαυμαστικόν*), *ὃ κεῖται καὶ παρὰ τῷ κωμικῷ* (Aristoph. Plut. 555. 872)

Δωρικὸν μὲν ὄν, φιληθὲν δὲ εἰς κοινὴν χρῆσιν τοῖς Ἀττικοῖς. cf. Lobeck. Phryn. 640.

ΚΑΠΗΛΙΔΕΣ

Καπήλιδες, non *Καπηλίδες*. Herodian. I 91, 8.

24

Λεωτροφίδης ὁ τρίμετρος ὡς λεοντῖνος
εὔχρως τε φάνει καὶ χαρίεις ὥσπερ νεκρός.

Schol. Aristoph. Av. 1406 (*Λεωτροφίδης*) *κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν ταῖς Καπήλισι κτλ. ὥσπερ νεκρός* om. R. de *Leotrophide* cf. interpretes Avium. Bergkius R. c. Att. 407 *ὡς Λεόντιος | εὔχρως τεθνάναι τε καὶ κτλ.* quae obscura non minus mihi sunt quam fuere Meinekio. G. Hermannus *Λ. ὁ τρίπεδος, ὡς Λεοντίῳ | εὔχρως πεφάνθαι κτλ.* Herwerdenus Obs. crit. 35. 6 *Λ. ὁ κρουσίμετρος Λεοντίῳ | εὔχρως πέφανται κτλ.* Fritzschius apud Toeppelium Progr. Neobrand. 1857, 20 *Λ. ὁ τρίμετρος ὡς Λεόντιχος | εὔχρως ἐφάνη μοι* (*πέφανται* Toeppelius ipse, qui *τρίμετρον* perverse *pusillum*, *τριχοίνικα* interpretatur). *τρίμετρος* omnino probabilem interpretationem non habet. fundamentum emendationis esse debet quem Bergkius p. 408 attulit Plat. Reip. 4, 439e (*ἤκουσα ὡς*) *Λεόντιος ὁ Ἀγλαΐωνος ἀνιὼν ἐκ Πειραιῶς . . . αἰσθανόμενος νεκροὺς παρὰ τῷ δημίῳ κειμένους ἅμα μὲν ἰδεῖν ἐπιθυμοῖ, ἅμα δ' αὖ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν, καὶ τέως μὲν μάχοιτο . . . κρατούμενος δ' οὖν ὑπὸ τῆς ἐπιθυμίας, διελκύσας τοὺς ὀφθαλμούς . . . ἰδοὺ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες* (*ὀφθαλμοί*), *ἐμπλήσθητε τοῦ καλοῦ θεάματος.* is igitur cadavera et homines cadaverosa facie (Terent. Hecyr. 3, 4, 27) libenter spectare putabatur. cf. Alciphron. 3, 51 extr. iam cum *levitas* simul ac *pallor* teste scholiasta in Leotrophide rideatur, scribendum videtur *Λ. ὁ τρίμνεως Λεοντίῳ | εὔχρως τε φαίνεται χαρίεις θ' ὥσπερ νεκρός.* scilicet sensuum testimonium dubium esse docetur: sic Leotrophidem aliis macilentum et turpem, Leontio pulcherrimum videri utpote mortuorum pallori proximum. *τρίμνεως trium librarum homo,* i. e. levissimus. cf. Lobeck. Phryn. 554 et Phot. *τρίμνων* (scr. *τρίμνεων*)· *γ' μνῶν ἄξιον.*

25

ἐλεφαντοκώπους ξιφομαχαίρας καὶ δόρη

Pollux 7, 158 *ξιφομάχαιρα ἡ μεγάλη μάχαιρα ἐν Θεοπόμπου Καπήλισιν κτλ.* 10, 145 *Θεόπομπος δὲ ἐν Πόλεσιν* (scr. *Καπήλισιν*) *ἐλεφαντοκώπους ξιφομαχαίρας.* ad *δόρη* Pollux adnotavit: *ἔνιοι γὰρ οὕτως εἰρῆσθαι τὰ δόρατά φασιν.* formis qualis est *δόρη* tragici potius

quam comici utebantur. quamquam *σὺν δόρει* etiam Aristophanes. cf. Bergk. R. c. Att. 409.

26

ἢ μετάδος ἢ μέτρησον ἢ τιμὴν λαβέ.

Schol. Aristoph. Acharn. 1021 et Suidas *μέτρησον· τὸ μέτρησον ἀντὶ τοῦ δάνεισον . . . καὶ Θεόπομπος Καπήλισιν κτλ.* 'ἢ om. R.' Dind., non addens quotum *ἢ* significet. Photius *μετρεῖσθαι· δανείζεσθαι.*

27

κολάσομαί σ' ἐγὼ
καὶ τὸν σὸν Ἄττιν.

Suidas *Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. Ἄττιν, οὐχὶ Ἄττια . . . Θεόπομπος ἐν Καπήλισι κτλ.* Bekker. Anecd. 461, 19 *Ἄττην, οὐχὶ ἄττεια. Θεόπομπος Καπήλισι κτλ. κολάσομαί σ' ἐγὼ* Porson. Toup. Emend. IIII 459] *κολάσομαί γ' ἔσω* Suid. AV. *κολάσομεγ' ἔσω* cod. Bekker. *Ἄττιν*] *ἄττην* cod. Bekk. '*te et amasium tuum*'. Meinek.

28

Zenobius 4, 44 *Ἱστίᾳ θύει· ἡ παροιμία τέτακται ἐπὶ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. δι' ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἱστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας. μέμνηται ταύτης Θεόπομπος ἐν Καπήλισιν.* cf. Eupol. 281.

Cf. fr. 65. 70.

ΜΗΔΟΣ

Tempus quodammodo definitur fr. 30. Persarum auctoritas discordiis Graecorum post bellum Peloponnesiacum aucta titulo significari videtur.

29

παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται
τοῖς ἡλικιώταις.

Schol. Pindar. Pyth. 2, 75 *χαρίζεσθαι γὰρ κυρίως τὸ συνουσιάζειν λέγεται, ὥσπερ Θεόπομπος ἐν Μήδῳ εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα κτλ. λίαν*] *λεῖα* Bergk. ap. Mein. V CXIX. cf. Plat. 59. 'in Lycabetto fortasse lupanar erat a masculis scortis frequentatum.' Meinek.

30

ὥς ποτ' ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν,
κέρμα φίλον διαδούς, ὅτε συμμαχίαν ἐρέεινεν·

οἷον δ' οὐ κήλησε δέμας λεπτὸν Ῥαδάμανθυν,
Λύσανδρον κώθωνα πρὶν αὐτῷ δῶκε λεπαστήν.

Athenaeus 11, 485c *Θεόπομπος . . . ἐν Μήδῳ κτλ.* *διαδούς* Dindorf.] *διδούς* A. *τι διδούς* Musurus. 3. *οἷον* Casaub.| *οἵον* P. 4. *κώθωνα* Bergk. R. c. Att. 240] *κώθωνι.* *Λύσανδρον*] *λυσανίαν* Meinekius conl. Hesych. *λυσανίας· ὁ λύων τὰς ἀνίας*, simul etiam relegans ad C. Rehdantz. Vit. Iphicr. p. 117. *Callistratus* est Aphidnaeus, clarissimus ille orator. Schweighaeuserus existimat conventum eum significari, in quo Callistratus Arcadibus suadebat ut Atheniensium partes sequerentur. cf. Corn. Nep. Epam. 6 cum eis quae Nipperdeius adnotavit. quis Rhadamanthi nomine significetur non constat. *υἷας Ἀχαιῶν* Achivos ipsos, Lysandrum eum qui commemoratur Xen. Hell. 7, 1, 45 sq. interpretatur I. Droysenus. cf. tamen Meinek. V 54. *κώθωνα λεπαστήν*, ut *κύλικα λεπαστήν* Aristoph. Pac. 916. cf. Bergk. R. c. Att. 240. plurima adhuc obscura.

31

Athenaeus 11, 481d *Νίκανδρος ὁ Θυατειρηνὸς (κυμβίον) τὸ χωρὶς ὠτίων* (i. e. quod ansis careat) *ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ.* cf. M. Haupt Berichte d. sächs. Ges. d. Wissensch. I 412 sq.

ΝΕΜΕΑ

A Nemea meretrice fabulam adpellatam esse arbitratur Meinek. I 241. at ea *Νεμεάς* dicitur Athen. 13, 587c.

32

χώρει σὺ δεῦρο, Θηρικλέους πιστὸν τέκνον·
γενναῖον εἶδος, ὄνομά σοι τί θώμεθα;
ἆρ' εἶ κάτοπτρον φύσεος ἣν πλῆρες δοθῇς·
οὐδέν ποτ' ἄλλο. δεῦρο δή, γεμίσω σ' ἐγώ.
γραῦ Θεολύτη, γραῦ. Β. τί με καλεῖς; Α. σέ, φιλτάτη,
ἵν' ἀσπάσωμαι· δεῦρο παρ' ἐμὲ Θεολύτη,
παρὰ τὸν νέον ξύνδουλον· οὑτωσὶ καλῶς.
Β. Σπινθὴρ τάλας, πειρᾷς με. Α. ναί, τοιοῦτό τι·
φιλοτησίαν δὲ τήνδε σοι προπίομαι·
δέξαι, πιοῦσα δ' ὁπόσον ἄν σοι θυμὸς ᾖ,
παράδος τὸ πρῶτον.

Athenaeus 11, 470f *μνημονεύει δὲ τῆς κύλικος (τῆς Θηρικλείου) Θεόπομπος μὲν ἐν Νεμέᾳ οὕτως κτλ.* Photius et Suidas *Θηρικλέους τέκνον· κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι Θηρικλῆς.* de *Thericle*

et aetate eius cf. Athen. 11, c. 41—44. 2. ὄνομα B] οὔνομα. τί θώμεθα Casaub.] τοθώμεθα A. 3. ἆρ' εἶ *(nonne es)* Coraes et Porson. Arist. Av. 813 p. 180] ἄρει. φύσεος Dindf.] φύσεως. 4. γεμίσω (coni. aor. Elmsl. Eur. Med. 1242) Abresch. Dilucid. Thucyd. 97] γε μισῶ. 5. *A.* add. Iacobs. Addit. Athen. 252. σέ, K.] σύ. φιλτάτη] φίλτατε Porsonus, falso. 6. ἵν' Iacobs.] τίν'. 8. τάλας, πειρᾷς με. ναί Adamus] ταλα σπειραις μεναι A. τάλαν cum Iacobsio Meinek. in Athen. mihi scribendum videtur Σπινθήρ, τί δρᾷς; πειρᾷς με; 9. τήνδε inseruit Meinekius. Bergkius R. c. Att. 411 τοιοῦτό τι | ποιῶ, φιλ. δέ σοι. προπ. προπίομαι VL] προσπίομαι BP. 10. δέξαι BP 'et nisi omnia fallunt A' Dindf. ᾖ Casaub.] ἢ P. 11. τὸ πρῶτον] Iacobs. 254 τὸ περιττόν. τὸ ποτήριον Herwerden. Nov. add. crit. 10. 'sequebatur εἶτα.' Meinek. Anal. Athen. 216. sed ipse τὸ λοιπόν. τὸ περιόν. K.

incredibile est quod Herwerdenus πιστόν simul a πίνω poetam deduci voluisse opinatur (Aesch. Prom. 480): tamquam poculum bibatur, non vinum. 3. φύσεος, ut Aristoph. Plut. 1044 ὕβρεος. cf. Eubul. 67, 9. 94, 7. 119, 8 et in melicis Aristoph. Vesp. 1282. 1458. Thesm. 465. 4. οὐδέν ποτ' ἄλλο] Strattid. 47, 2. σε] adhuc poculum adloquitur. 6 σὲ ἵνα ἀσπάσωμαι] cf. quae adnotavimus ad Aristoph. Nub. 1447 et Cratin. 276. Theopomp. 62, 5. 7. οὑτωσὶ καλῶς '*belle ita.* iam enim propius accesserat Theolyte. cf. Menand. Etym. m. 407, 22' Meinek. 8. Σπινθήρ (vel potius Σπίνθηρ Lehrs. Aristarch.[2] 291) nomen est 'ad servuli celeritatem indicandam aptissimum'. Meinek. πειρᾷς] Ruhnken. Tim. 210, cuius exemplis addo Aristoph. Plut. 1067. Lys. 1, 12. 9. cf. Alexid. Athen. 11, 502b.

ΟΔΥΣΣΕΥΣ

Ὀδυσσεῖς Pollux 7, 74, quem verum esse titulum Bergkius iudicat R. c. Att. 413, negat Meinek. I 241 Theopompi fabulam cum Cratinea confundi ratus. cf. titulus Πηνελόπη.

33

χιτῶνά μοι
φέρων δέδωκας δαιδάλεον, ὃν ᾔκασεν
ἄρισθ' Ὅμηρος κρομμύου λεπυχάνῳ.

Eustathius 1863, 49 ἰστέον δὲ ὅτι τὸ ῥηθὲν λέπυρον καὶ λεπύχανόν φασιν εἰρῆσθαι παρὰ Θεοπόμπῳ τῷ κωμικῷ, εἰπόντι ὡς ἐκ προσώπου τοῦ Ὀδυσσέως τό κτλ. quamquam Eustathius fabulam non nominavit, tamen Meinekium recte haec ad Ulixem rettulisse adparet. δαιδάλεον — κρομμύου Meinek.] δαίδαλον — κρομύου. Homeri versus sunt Od. 19, 232. 3. quocum Ulixes conloquatur difficile est dicere: nisi forte scripsit φέρουσ' ἔδωκας.

34

Εὐριπίδου τἄρ᾽ ἐστὶν οὐ κακῶς ἔχον,
τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.

Athenaeus 5, 165 b *Θεόπομπος δ᾽ ἐν Ὀδυσσεῖ ἔφη κτλ. τἄρ᾽ ἐστὶν* Meinek.] *τἄριστον. τἀρχαῖον* Porson. *τἄρ᾽ ἴστον* Herwerd. Nov. add. crit. 11 et Mnem. nov. IIII 302. *στ᾽ ἄριστον* '*est ientaculum non contemnendum*'. Bergk. R. c. Att. 412. non credo. *τὸν καλῶς εὐδαίμονα* Aesch. fr. 310 N.

35

ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον
δι᾽ ἡμετέρων στομάτων
εἴπω σόφισμ᾽, ὅ φασι παῖδας Λεσβίων
εὑρεῖν.

Schol. Aristoph. Vesp. 1346 *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι. παρὰ τὸ ἱστορούμενον, ὅτι παρὰ τοῖς Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ κτλ. εὑρεῖν* initium esse versus eodem metro compositi quo v. 2 fuit Meinekius monuit.

36

λάσιον ἐπιβεβλημένος

Θεόπομπος δ᾽ ἐν Ὀδυσσεῦσιν (*Ὀδυσσεῖ*) *ἐπὶ διακόνου ἔφη* Pollux 7, 74. Erotianus 93, 4 Klein. *λάσιον· ὀθόνιον, ὡς Θεόπομπος ἐν Ὀδυσσεῖ. καὶ Ἀρτεμίδωρος ὁ γραμματικὸς ἐν ταῖς λέξεσί φησι λινοῦν ὕφος δασὺ εἶναι.* (*Ὀδυσσεῖ* Meinek., *ὀδυσσεία* AC, *ὀδυσεία* B.)

Ad Ulixem fr. 73 refert Meinekius.

ΠΑΙΔΕΣ

Prioribus Theopompi fabulis adnumeranda est propter fr. 39. Meinek. I 237. 241. ad Ol. 91 vel 92 refert Bergk. R. c. Att. 415. 6, qui chorum compositum fuisse suspicatur ex senibus decrepitis iuventutem recuperantibus, coniectura admodum incerta.

37

τηνδὶ περιζωσάμενος ᾤαν λουτρίδα
κατάδεσμον ἥβης προπέτασον.

Pollux 7, 66 *τὸ δὲ περὶ τοῖς αἰδοίοις οὐ μόνον γυναικῶν ἀλλὰ καὶ ἀνδρῶν, ὁπότε σὺν ταῖς γυναιξὶ λούοιντο, ᾤαν λουτρίδα ἔοικε Θεόπομπος ὁ κωμικὸς ἐν Παισὶ καλεῖν εἰπὼν κτλ.* et 10, 181 *τὸ μέντοι δέρμα, ᾧ ὑποζώννυνται αἱ γυναῖκες λουόμεναι ἢ οἱ λοῦντες*

αὐτάς, ᾧαν λουτρίδα ἔξεστι καλεῖν, Θεοπόμπου εἰπόντος ἐν Παισί κτλ. προπέτασον (ἥβης) K.] *περιπέτασον.* cf. Pherecr. 62. recte Pollux *κατάδεσμον* interpretatur, falso Bergkius R. c. Att. 413. 4 de magico nescio quo remedio cogitat, quo senes iuventutem recuperent.

38

πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ συνουσίας.

Hephaestio 13, 9 *τούτῳ* (*τῷ τρόπῳ*, ut primi pedes sint paeones, ultimus creticus) *καὶ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν, ἀφ' οὗ καὶ Θεοπόμπειον καλεῖται κτλ.* de se loqui videtur poeta in epirrhemate, quale est Aristoph. Vesp. 1275 sq., ac recte Bergkius R. c. Att. 416. 7 non primam *Παῖδας* fuisse Theopompi fabulam ex his ipsis verbis conligit.

39

Schol. Aristoph. Av. 1569 *ἔχει δὲ* (*Λαισποδίας*) *καὶ περὶ τὰς κνήμας αἰτίας τινάς, ὥς φησι Στράττις ἐν Κινησίᾳ* (16). *διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον, ὡς Θεόπομπος ἐν Παισί.* cf. Eupol. 102.

Fr. 69 coniectura admodum incerta ad *Παῖδας* refert Bergkius R. c. Att. 414.

ΠΑΜΦΙΛΗ

Nomen videtur esse meretricis.

40

σπόγγος, λεκάνη, πτερόν, λεπαστὴ πάνυ πυκνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
τέττιξ κελαδεῖ.

Athenaeus 11, 485 b *Θεόπομπος Παμφίλῃ κτλ. πυκνή, ἣν* ex fr. 41 Schweighaeus.] *πυκνὴν.* cf. fr. 76. Aristoph. Eq. 85. 106. Vesp. 525. Pac. 300. *τέττιξ κελαδεῖ* '*garrit ut cicada*'. Cratin. 52.

41

λεπαστὴ μάλα συχνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
περίστατον βοῶσα τὴν κώμην ποιεῖ.

Athenaeus 11, 485 e *Θεόπομπος Παμφίλῃ κτλ. λεπαστὴ — συχνὴ* A] *λεπαστῇ — συχνῇ.* 2. *ἣν* Schweighaeus.] *ἦν* P. 3. *περίστατον* Dindf.] *περιστατὸν. ποιεῖ*] *ποεῖ* A. *συχνή*, ut Antiphan. 97 *πάνυ συχνὴ σφύραινα.* recte Schweighaeuserus hos versus ex altera eiusdem fabulae editione paullulum inmutata depromptos esse censuit.

42

αὐτὴ δ' ἐκείνη πρότερον ἐξηπίστατο
παρὰ τῆς ἐπιτηθῆς.

Etymol. m. 366, 11 *ἐπιτηθή· ἡ τῆς τηθῆς μήτηρ. Θεόπομπος Παμφίλῃ κτλ. ἐξηπίστατο*] *ἐξεπίστατο* cod. Milleri (Mélanges 123), qui praeterea *Θεόποπτος*. Bekker. Anecd. 254, 10 *ἐπιτήθη· ἡ μήτηρ τῆς μάμμης.* ac sic etiam *τήθη* Herodian. I 311, 30.

43

τούτων ἁπάντων ὁ ῥαχιστὴς Δημοφῶν

Photius et Suidas *ῥαχίζειν τὸ ἀλαζονεύεσθαι, καὶ ῥαχιστὴς ὁ ἀλαζών. Θεόπομπος Παμφίλῃ κτλ.* Hesych. *ῥαχιστήρ· ψεύστης, ἀλαζών. μεγαλουργός, μεγάλα κακουργῶν, μεγάλα ψευδόμενος. Demophon* fortasse idem est qui Ephipp. 16 commemoratur. nam ab eo quidem, cui Demosthenis pater rem familiarem tradiderat, diversus videtur esse. Demosth. 27, 4—49. 28, 14—19.

44

σανδάλια

Θεόπομπος ὁ κωμικὸς ἐν Παμφίλῃ εἴρηκεν, ἀλλ' ἐπὶ γυναικός. Pollux 10, 49.

Ad Pamphilam Meinekius refert fr. 76.

ΠΑΝΤΑΛΕΩΝ

Plures commemorantur Pantaleontes, unus *ὀψοποιικῶν συγγραμμάτων* auctor, Poll. 6, 70, alter Cleagorae f. Aeschin. 1, 156 (*Παντολέοντα* Turic.), et planus ille famosissimus Athen. 14, 616 a b. Lys. *πρὸς Πανταλέοντα.* Meinek. I 241. Lys. 10, 4 sq. fr. 201. 2 Turic. hunc postremum significari censent Meinekius et Bergk. Epist. ad Schiller. 136 sq. de auctore comoediae antiquitus dubitatum esse docet Pollux 10, 41 (fr. 45).

45

Pollux 10, 41 *εἰ δὲ καὶ τὸ κνέφαλλον μὴ ἐπὶ τοῦ τυλείου τις ἀκούειν βούλοιτο, ὥσπερ ἡ πολλὴ χρῆσις ἔχει, ἀλλ' ἐπὶ τοῦ ἐμβαλλομένου πληρώματος, ὃ γνάφαλον καλοῦσι, προσχρήσεται τῷ ῥηθέντι ἐν Πανταλέοντι Θεοπόμπου, εἰ καὶ ἀμφισβητεῖται τὸ δρᾶμα. προειπὼν γὰρ ὁ ποιητὴς ὠ ν ε ῖ τ ο δ έ ρ μ α θ η ρ ό ς, ἐπήγαγε ῥ ά ψ α ς ὅ λ ο ν κ ν ε φ ά λ λ ω ν ἔ σ α ξ ε ν.* ita Hemsterhusius pro vulgato *ὠνητιῶν δέρμα τοῦ θηρός* ex codicibus, qui cetera ita exhibent: *ῥάψας ὅλον κνέφαλον σάξαι γναφάλῳ.* Aldus *προειπὼν γὰρ ὁ ποιητὴς ὠνητιῶν τὸ δέρμα τοῦτο, ἐπήγαγε ῥάψας ὅλον κνέφαλον.* Bentleius: *ὠνητιῶν τὸ δέρμα τοῦ θηρός,* et *ῥάψας ὅλον σάξαι κνεφάλῳ.* ut supra scripsi-

mus, Bergkius Epist. Schiller. 137. ante Bergkium *ὤνητο — τοῦ θηρός — σάξαι κνεφάλῳ* (*γναφάλωι* C). videntur versus esse Anacreontei *ὠνεῖτο θέρμα θηρός* | . . . | *ῥάψας ὅλον κνεφάλλων* | *ἔσαξεν*.

46

σπηλάδιον

Θεόπομπος ἐν Πανταλέοντι εἴρηκεν. Pollux 9, 16. Eustathius 1552, 31 *ὅτι δὲ ὥσπερ σπηλαίου καὶ προσκεφαλαίου καὶ τυχαίου ὑποκοριστικὰ σπηλάδιον προσκεφαλάδιον τυχάδιον, οὕτω καὶ ἐλαίου ἐλάδιον, δηλοῦσιν οἱ τεχνικοί.* cf. Etymol. m. 240 in. Herodian. II 488, 12. 583, 11.

ΠΗΝΕΛΟΠΗ

Quamquam de argumento non constat (Meinek. I 241), fragmenta non inepte ad procorum insolentiam et vota a Penelope pro Ulixis reditu concepta referuntur.

47

καί σε τῇ νουμηνίᾳ
ἀγαλματίοις ἀγαλοῦμεν ἀεὶ καὶ δάφνῃ.

Bekker. Anecd. 328, 28 *Θεόπομπος Πηνελόπῃ κτλ.* cod. *του νουμηνία* et *πηνελόπῳ.* prima luna Athenienses in arcem adscendere precesque facere solebant. Aristoph. Pac. 396 sq. Schoemann. Ant. gr.[2] II 422 n. 3. deum aliquem nescio quis adloquitur.

48

καὶ τὴν ἱερὰν σφάττουσιν ἡμῶν δέλφακα.

Athenaeus 14, 657a *θηλυκῶς* (*τὴν δέλφακα*) . . . *Θεόπομπος Πηνελόπῃ κτλ. σφάττουσιν ἡμῶν* Iacobs. Addit. Ath. 344] *ἡμῶν σφάττουσιν* A. procorum *ἀσέβεια* indicari videtur.

49

Athenaeus 4, 183e *μνημονεύει δὲ τοῦ τριγάνου τούτου . . . Θεόπομπος ἐν Πηνελόπῃ.* cf. Pherecr. 42.

ΣΕΙΡΗΝΕΣ

Meinek. I 242. cantus Sirenis alicuius inrideri videtur fr. 50.

50

αὐλεῖ γὰρ σαπρὰ
αὕτη γε κρούμαθ' οἷα τἀπὶ Χαριξένης.

Etymol. m. 367, 22 *ἐπὶ Χαριξένης· αὐλητρὶς ἡ Χαριξένη ἀρχαία καὶ ποιήτρια κρουμάτων. Θεόπομπος Σειρῆσιν κτλ. κρούμαθ' οἷα τἀπὶ* Meinek.] *κρουμάτια τὰ ἐπὶ.* Cobetus Obs. crit. Plat. 20 *κρουμάτι' ἄττα.* at pronomine comparativo (*οἷα*) carere vix possumus. perperam igitur Cobetum praedicat Herwerdenus Nov. add. crit. 16. cf. Cratin. 146.

51

θύννων τε λευκῶν Σικελικῶν ὑπήτρια

Athenaeus 9, 399 d *ἐν δὲ Σειρῆσιν ὑπήτρια καλεῖ* (*Θεόπομπος*) *τὰ ὑπογάστρια λέγων οὕτως κτλ.*

52

ὑποδοῦ λαβὼν τὰς περιβαρίδας.

Schol. Aristoph. Lysistr. 45 et Suidas *περιβαρίδες· ὑποδήματος εἶδος αἱ περιβαρίδες, ὡς Θεόπομπος ἐν Σειρῆσιν κτλ. λαβὼν* om. Barocc. *ὑποδοῦ*] *ὑπόδου* Suid. BV, *ὑπὸ σοῦ* reliqui. Theopompi verba om. Suid. A. Cobetus N. l. 144 *ὑποδοῦ λαβὼν τασδὶ περιβαρίδας* (◡ –). Aristoph. Vesp. 1158 nunc recte scribitur *τασδὶ δ' ἀνύσας ὑποδοῦ τι τὰς Λακωνικάς.* ac sic fortasse Theopompus *ὑποδοῦ λαβὼν ἀ ν ύ σ α ς τι τὰς περιβαρίδας.*

53

φρυγεύς, θυῖα, λήκυθος

Pollux 7, 181 *φρυγεύς, ἀγγεῖον ὅπου ἐπέφρυγον. Θεόπομπος ἐν Σειρῆσι κτλ.* idem 10, 109 *τὸν δὲ φρυγέα ὡς σκεῦος μαγειρικόν, εἴτε τὸ ἀγγεῖον ἐν ᾧ ἔφρυγον, εἴτε τὸ φρύγετρον, ὁ κωμικὸς Θεόπομπος ἐν Σειρῆσιν ὑποδηλοῖ.*

ΣΤΡΑΤΙΩΤΙΔΕΣ

Meinek. I 242. postquam Aristophanes mulierum choros Thesmophoria celebrantium, contionantium, pacem componentium fecerat, supererat ut etiam militantes feminae in orchestram inducerentur. idque Theopompum hac fabula fecisse docent fr. 54—56.

54

ἐγὼ γὰρ ἂν κώθωνος ἐκ στρεψαύχενος
πίοιμι τὸν τράχηλον ἀνακεκλασμένη;

Ataenaeus 11, 483 e *μνημονεύει* (*τοῦ κώθωνος*) . . . *Θεόπομπος Στρατιώτισιν κτλ. γὰρ ἂν* Liebelius Archil. 143] *γάρ. πίοιμι τὸν* Schweighaeus.] *ποιμαντὸν* (i. e. *πίοιμ' ἂν τὸν*) A. *ἀνακεκλασμένη* C] *ἀνακεκλασμένης* P. 'collum erat reflectendum propter

cothonis ἄμβωνας.' Dobr. Advers. II 333. recte in interrogatione sententiam posuit Iacobs. Addit. 261: negat enim cum indignatione mulier se mores victumque militum secuturam.

55

καίτοι τίς οὐκ ἂν οἶκος εὖ πράττοι τετρωβολίζων,
εἰ νῦν γε διώβολον φέρων ἀνὴρ τρέφει γυναῖκα;

Pollux 9, 64 *παρὰ Θεοπόμπῳ ἐν Στρατιώτισι τὸ τετρώβολον λαμβάνειν τετρωβολίζειν ὠνόμασται κτλ.* *οἶκος* Fritzschius De merc. iud. 19] *εἰκός.* *νῦν γε*] *νῦν* Dindorf. *νῦν γ' ἀνὴρ διώβ.* Pors. Hec. praef. XLV. *φέρων — τρέφει* Kuehnius] *φέρει — τρέφειν*, quod non recte retinet Porsonus. neque enim ideo vir mercedem accipit ut alat mulierem: nam accipit etiam qui uxorem non habet. — excerpta haec sunt ex syntagmate iambico, in quo de mulieribus in militum numerum recipiendis certabatur; commendat rem quisquis loquitur, reditus familiae duplicari dicens, si cum viro femina quoque mercedem militarem accipiat. ea enim significatur, non iudicum, ut falso etiam Wachsmuthius in Mus. Rhen. XXXIIII 161 sq. cf. quae contra eum in vol. XXXV disputavi. erat autem non semper eadem: plerumque tamen duorum obolorum videtur fuisse. Boeckh. Oecon. Athen.[2] I 168. 378. ceterum cf. Aristoph. Eq. 798.

56

ἡ Θρασυμάχου δ' ὑμῶν γυνὴ καλῶς ἐπιστατήσει.

Priscianus 18, 213 *Attici ἐπιστατήσει ὑμῶν καὶ ὑμῖν. Θεόπομπος Στρατιώτισιν κτλ.* *δ'* inseruit Meinek. reliquas varietates quae nihil ad rem faciunt, recenset Hertzius. *Thrasymachum* Meinekius dici putat Chalcedonium. mihi nomen tantummodo boni ominis causa delectum videtur.

57

Schol. Platon. 330 Bekk. *Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβαδᾶν (Ἄνυτον) εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει.* *Ἐμβαδᾶν* Meinek. ed. min XIV] *Ἐμβάδαν.* *Anytus* est Socratis accusator.

58

σκληφρός

ὃν καὶ νεοειδῆ ἂν εἴποις. Θεόπομπος δὲ ὁ κωμικὸς ἐπὶ γυναικὸς εἴρηκεν αὐτὸ ἐν Στρατιώτισιν. Pollux 2, 10. *σκληφρός* est *gracilis.*

ΤΙΣΑΜΕΝΟΣ

Intellegendus videtur filius Mechanionis, auctor plebisciti, ut eversa triginta tyrannorum dominatione Solonis leges restitueren-

tur. Andocid. 1, 83. Lys. 30, 28. Meinekius eundem esse arbitratur, quem cum Phaenippo coniungit Aristoph. Ach. 603.

59

ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Harpocratio 107. 8 *καταπλήξ· ὁ συνεχῶς πεπληγμένος . . . Θεόπομπος Τισαμενῷ κτλ.* eadem Photius et Suidas *καταπλήξ*, omisso fabulae nomine. quid sit *καταπλὴξ τὴν τέχνην* nemo facile dixerit, praeter Bernhardyum scilicet, qui Aristophanis versu Eccl. 385 (*δεινός ἐστι τὴν τέχνην*) satis id defendi opinatur. mihi Theopompus hoc fere videtur dixisse: Lucina, si non potest omnibus parturientibus adesse, facile veniam inveniet, cum tot mulieres eodem tempore opem eius inplorantes *aures* ei *obtundant*. *συγγνώμην ἔχειν* enim non solum est *veniam dare*, sed etiam *accipere*. Sophocl. Trach. 328. Eurip. Phoen. 995. itaque scribendum *ὑπὸ τ. γ. τὠτα καταπλὴξ γενομένη*. de crasi cf. Aristoph. Av. 105. Nub. 92. non recte Toupius I 318 *τῶν λεχῶν* pro *τὴν τέχνην* (a *λεχώ*), putans Dianam orari ut ignoscat *ὅτι διεκορήθησαν*. at tum Diana orari poterat, non item Ilithyia.

60

τὸν δὲ Μύσιον
Ἀκέστορ' ἀναπέπεικεν ἀκολουθεῖν ἅμα.

Schol. Aristoph. Vesp. 1221 *τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικόν, ὃς ἐκαλεῖτο Σάκας. Θεόπομπος Τισαμενῷ οὐ κοινῶς ξένον ἀλλὰ Μυσόν κτλ.* Schol. Av. 31 *ἐκαλεῖτο δὲ Σάκας . . . Θεόπομπος δὲ καὶ τὸν πατέρα αὐτοῦ Σάκαν προσηγόρευσεν Τισαμενῷ. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν.* cf. interpret. Aristoph. Av. 31.

61

ὀλόλους

τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι. Θεόπομπος Τισαμενῷ. Photius.

ΦΙΝΕΥΣ

62

παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις,
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρὺξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν.
ταῦτ' ἢν ποιῇς, ῥᾴων ἔσει τὴν οὐσίαν.

Athenaeus 14, 649 b *ἀλλ' οὐκ ἐσθίειν σε προσέταξα, ἀλλὰ μὴ ἐσθίειν. τὸ γὰρ ἀπεσθίειν οὕτως εἴρηκεν ἐν Φινεῖ ὁ κωμῳδιοποιὸς Θεόπομπος κτλ.* Eustath. 1573, 27 *ἀπεσθίειν καὶ τὸ μὴ ἐσθίειν, οἷον· τοῖς βλίτοις διαχρῶ. τὴν κοιλίαν — ἀπέσθιε.* 2. *σκληρὰν*] *ξηρὰν* Eustath. 5. *ταῦτ' ἢν ποιῇς* Scaliger apud Grotium] *ταύτην ποης* A. perperam Scaliger in v. 4 *εὐκοιλίαν* pro *εὐβουλίαν*, non intellegens ridicule *παρ' ὑπόνοιαν* dici *εὐβουλίαν*, ut v. 5 *τὴν οὐσίαν (rem familiarem)* pro *τὴν ὑγίειαν* vel *τὴν κοιλίαν*. ante versum 1 excidit *πρότασις*. versus ultimus medicorum praecepta imitatur. sic Hippocr. De affect. Lind. II 212 (attulit Meinekius) *ταῦτα ἢν ποιέῃ, ῥήιον οἴσει τὴν νοῦσον*. *vetustiores* medici *piscibus saxatilibus* sisti potius quam laxari alvum credebant.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

63

ὥς μοι δοκεῖν
εἶναι τὸ πρόθυρον τοῦτο βασανιστήριον,
τὴν δ' οἰκίαν ζητρεῖον ἢ κακὸν μέγα.

Etymol. m. 411, 33 *ζήτρειον· σημαίνει τὸ τῶν δούλων δεσμωτήριον, ἤγουν τὸν μύλωνα, παρὰ Χίοις [καὶ Ἀχαιοῖς]· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι . . . Θεόπομπος κτλ. ὥς μοι*] *ὥσσοι* M. *ζήτρειον*, cf. Eupol. 348. *καὶ Ἀχαιοῖς* recte eiecit Herwerdenus Obs. crit. 36, simul *ὥστε μοι δοκεῖν* scribens. *κακὸν μέγα* quod magnopere languet fortasse in *βάραθρον μέγα* mutandum est.

64

ἐπίνομεν μετὰ ταῦτα . . . .
κατακείμενοι μαλακώτατ' ἐπὶ τρικλινίῳ
Τελαμῶνος οἰμώζοντες ἀλλήλοις μέλη.

Athenaeus I 23 e *Θεόπομπος κτλ. μετὰ ταῦτ' ἐπίνομεν* Toup. Append. Theocr. 15, 98 p. 28 sine ulla necessitate. *τὴν ἐπιδέξια* supplet Toeppelius Progr. Neobr. 1867 p. 5 conl. Eupol. 325. de *Telamonis* cantico cf. Athen. 15, 695 c. Aristoph. fr. 706. pro *οἰμώζοντες* Herwerdenus Stud. crit. 28 *αἰάζοντες*, quoniam scolium ipsum est *παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.* mihi sententia postulare videtur ut scribatur *Τελαμῶνος οἰμώζοντες ἀλλήλους μέλει.* nam imitationem manifestam mihi videor deprehendere Aristoph. Ach. 69 — 75.

65

Plutarchus Lysandr. 13 *ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε*

